This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

NYPL RESEARCH LIBRARIES
3 3433 07030056 5





DELECTUS

POESIS GRAECORUM

ELEGIACAE, IAMBICAE, MELICAE.

EDIDIT

F. G. SCHNEIDEWIN.

SECTIO I. POETAE ELEGIACI.

GOTTINGAE

APUD VANDENHOECK ET RUPRECHT.

MDCCCXXXVIII.

1

DELECTUS

POETARUM ELEGIACORUM

GRAECORUM.

EDIDIT

F. G. SCHNEIDEWIN.

GOTTINGAE
APUD VANDENHOECK ET RUPRECHT.
MDCCCXXXVIII.

1838

NEW YORK
PUBLIC
LIBRARY

I.

POETARUM ELEGIACORUM RELIQUIAE.

INDEX POETARUM ELEGIACORUM.

		pag.
I.	Callini Ephesii Elegia	1
II.	Tyrtaei Aphidnaei Elegiae	2
III.	Mimnermi Colophonii	12
IV.	Solonis Atheniensis	17
V.	Phocylidis Milesii	36
VI.	Xenophanis Colophonii	39
VII.	Theognidis Megarensis	46
VIII.	Ionis Chii	125
IX.	Melanthii Atheniensis	129
X.	Dionysii Atheniensis	130
XI.	Eueni Parii	133
XII.	Critiae Atheniensis	136
XIII.	Socratis Atheniensis	142
XIV.	Philetae Coi	142
XV.	Hermesianactis Colophonii	147
XVI.	Phanoclis	158
XVII.	Alexandri Pleuronii	160
XVIII.	Eratosthenis Cyrenaei	164
XIX.	Parthenii Nicaeensis	167

I. Callini Ephesii Elegia.

Olymp. XVIII. (1)

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἔξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπεριπτίονας
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω·
Τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δὴ
Μοῖραι ἐπικλώσωσ'· ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ
ἕλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
Οὐ γάρ πως θανάτου γε φυγεῖν εἱμαρμένον ἐστὶν

Callini Elegiam servavit Stobaeus Floril. LI, 19. Poeta Ephesius cives suos cohortatur ad pericula ab hostibus, quos Cimmerios fuisse statuunt, patriae imminentia gnaviter propulsanda. 2. Homerus Odyss. *B*, 65 sq. 5. Fr. Thierschio Actt. Philoll. Monacc. III, 577 sqq. ambiguum videbatur, utrum ea quae sunt post lacunam Callino essent an Tyrtaeo vindicanda. Apud Stobaeum eidem poetae continuantur. Franckius Callin. 100. post versum quartum inculcat haec a Strabone servata XIV, 647.

Νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀβριμοέργων.

8. τότ' ἔσσεται codex B: alii κοτ' vel ποτ' ἔσσεται. 12. πως A: vulgo κως.

ἄνδρ', οὐδ' εἰ προγόνων ἦ γένος ἀθανάτων·
πολλάκι δηϊότητα φυγὼν καὶ δοῦπον ἀκόντων
ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου·
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός,

τὸν δ' ὀλίγος στενάχει καὶ μέγας ἦν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
θνήσκοντος· ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

II. Tyrtaei Aphidnaei.

Circa Olymp. XXIII—XXVIII.

Ἀγαθὸς νέων ψυχὰς αἰκάλλειν. **Leonidas.**

Suidas: *Τύρταιος Ἀρχιμβρότου, Λάκων ἢ Μιλήσιος, ἐλεγειοποιὸς καὶ αὐλητής, ὃν λόγος τοῖς μέλεσι χρησάμενον παροτρῦναι Λακεδαιμονίους καὶ πολεμοῦντας Μεσσηνίοις ταύτῃ ἐπικρατεστέρους ποιῆσαι. Ἔστι δὲ παλαίτατος,*

---

13. εἰ — ἦ libri: ἦν — ἦ Brunckius. 16 sqq. Poeta sic ratiocinatur, ut *mortem quidem nullo pacto vitari posse dicat, pericula posse:* nam verba θάνατόν γε φυγεῖν et πολλάκι δηϊότητα φυγών sibi respondent —: *aut igitur mortem oppeti, aut effugi. Qui autem salvi atque integri in patriam revertantur, diversa frui condicione: eum non carum esse suis* (si qui turpiter se periculis subduxerit; sed qui fortiter depugnaverit) *eum vero aut lugeri, si quid ipsi acciderit, aut summo affici a civibus suis honore.* Quae si vere disputata sunt, quaedam exciderint necesse est: non habet enim quo referatur ὁ μέν illud vers. 15. et τὸν δέ vers. 17. Persimilis est Tyrtaei locus Ὑποθηκῶν IX, 23 sqq. 18. 19. Franckio Callin. 103. a rhapsodo adjecta sunt.

II. Tyrtaeus. De Eunomia Aristoteles Polit. V, 6. Ἐν ταῖς ἀριστοκρατίαις γίνονται αἱ στάσεις — ὅταν οἱ μὲν ἀπορῶσι λίαν, οἱ δ' εὐπορῶσι· καὶ μάλιστα ἐν τοῖς πολέμοις τοῦτο γίνεται. Συνέβη δὲ καὶ τοῦτο ἐν Λακεδαίμονι ὑπὸ τὸν Μεσσηνιακὸν πόλεμον. Δῆλον δὲ καὶ τοῦτο ἐκ τῆς Τυρταίου ποιήσεως τῆς καλουμένης Εὐνομίας· θλιβόμενοι γάρ τινες διὰ τὸν πόλεμον ἠξίουν ἀνάδαστον ποι-

σύγχρονος τοῖς Ἑπτὰ κληθεῖσι Σοφοῖς ἦ καὶ παλαίτερος. Ἤκμαζε γοῦν κατὰ τὴν λέ Ὀλυμπιάδα. Ἔγραψε πολιτείαν Λακεδαιμονίοις καὶ Ὑποθήκας δι' ἐλεγείας καὶ Μέλη πολεμιστήρια, βιβλία ε'.

I. *Εὐνομία.*

1.

Αὐτὸς γὰρ Κρονίων, καλλιστεφάνου πόσις Ἥρης,
Ζεὺς Ἡρακλείδαις τήνδε δέδωκε πόλιν·
οἷσιν ἅμα προλιπόντες Ἐρινεὸν ἠνεμόεντα
εὐρεῖαν Πέλοπος νῆσον ἀφικόμεθα.

2.

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἴκαδ' ἔνεικαν
μαντείως τε θεοῦ καὶ τελέεντ' ἔπεα·

εἶν τὴν χώραν. Messenii autem Ira occupata ex Laconico agro omnis generis praedas agebant: *ὥστε*, teste Paus. IV, 18, 1. 2., *καὶ ἐποιήσαντο οἱ Λακεδαιμόνιοι δόγμα, ἅτε τοῖς ἐν τῇ Εἴρᾳ μᾶλλον ἢ σφίσιν αὐτοῖς γεωργοῦντες, τὴν Μεσσηνίαν καὶ τῆς Λακωνικῆς τὴν προσεχῆ, ἕως ἂν πολεμῶσιν, ἐᾶν ἄσπορον. Καὶ ἀπὸ τούτου σιτοδεία ἐγένετο ἐν Σπάρτῃ καὶ ὁμοῦ τῇ σιτοδείᾳ στάσις· οὐ γὰρ ἠνείχοντο οἱ ταύτῃ τὰ κτήματα ἔχοντες τὰ σφέτερα ἀργὰ εἶναι· καὶ τούτοις μὲν τὰ διάφορα διέλυε Τύρταιος.* Vide Thiersch. l. c. 612. Mueller Dorr. I, 47.

Fr. 1. Strabo VIII, 362. *Τύρταιός φησιν ἐν τῇ ἐλεγείᾳ, ἣν ἐπιγράφουσιν Εὐνομίαν.* Versu 2. *τήνδε πόλιν* terram Laconicam: *ἀφικόμεθα*, nos, qui Dorienses sumus. *Ἐρινεὸς* erat *μία τῆς Δωρικῆς τετραπόλεως: ἐντεῦθεν ὁρμηθεῖσι τοῖς Ἡρακλείδαις ὑπῆρξεν ἡ εἰς Πελοπόννησον κάθοδος*, Strabo IX, 427.

Fr. 2. Plutarchus Lycurg. VI. et Diodori Exec. Vatic. p. 3. Dindorf. Plutarchus: *Ὕστερον μέντοι τῶν πολλῶν ἀφαιρέσει καὶ προσθέσει τὰς γνώμας διαστρεφόντων καὶ παραβιαζομένων, Πολύδωρος καὶ Θεόπομπος οἱ βασιλεῖς τάδε τῇ ῥήτρᾳ παρενέγραψαν· Αἰ δὲ σκολιὰν ὁ δᾶμος αἱροῖτο, τοὺς πρεσβυγενέας καὶ ἀρχαγέτας ἀποστατῆρας εἶμεν.* τοῦτ' ἔστι μὴ κυροῦν, ἀλλ' ὅλως ἀφίστασθαι καὶ διαλύειν τὸν δῆμον ὡς ἐκτρέποντα καὶ μεταποιοῦντα τὴν γνώμην παρὰ τὸ βέλτιστον· ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν, ὡς τοῦ θεοῦ ταῦ-

[δὴ γὰρ ἀργυρότοξος ἄναξ ἑκάεργος Ἀπόλλων
χρυσοκόμης ἔχρη πίονος ἐξ ἀδύτου·]
Ἄρχειν μὲν βουλῆς θεστιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις·
πρεσβυγενεῖς τε γέροντας, ἔπειτα δὲ δημότας ἄνδρας,
εὐθείαις ῥήτραις ἀνταπομειβομένους·
μυθεῖσθαι δὲ τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια,
μηδέ τι βουλεύειν τῇδε πόλει . . . . ·
δήμου δὲ πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει.

τα προστάσσοντος, ὥς που Τύρταιος ἐπιμέμνηται διὰ τούτων· Φοίβου κτλ.

Versus 3. 4. accesserunt ex Diodoro. Uncis saepsi, interpolatori deberi ratus. Prioris enim distichi vis mirifice frangi videtur ignavis illis versibus assutis. Et cur tandem Apollo cumulatis appellationibus vocatur ἀργυρότοξος, ἄναξ ἑκάεργος, χρυσοκόμης? cur, quaeso, additur πίονος ἐξ ἀδύτου? Recte quidem Theogn. 222. πίονος ἐξ ἀδύτου. Quae inania sunt ornamenta. Si Tyrtaei essent, scripsissem ὧδε γὰρ ἀργ. vel τῇδε: Hermannus δὴ γὰρ ὁ ἀργ., Dindorfius δὴ γάρ ῥ' ἀργ. 7. Πρεσβύτας τε γέροντας Plutarchus, πρεσβυγενεῖς δὲ γέρ. Diodorus. Correxi: τε necessarium: nam τὴν ὑπὸ τῶν γερόντων καὶ τῶν βασιλέων προτεθεῖσαν γνώμην ἐπικρῖναι κύριος ἦν ὁ δῆμος. De mensura vocis δημότας, ut infra VI, 1. δεσπότας v. Buttmanni Gr. Max. I, 144. 8. εὐθείην ῥήτρας Diodorus. Vulgatam scripturam Nitzschius Melett. de Hist. Homeri I, 54. explicat: *Suffragati scitis Senatus nihil inflexis*, vel *nihil ut inflectantur*. Aliter Franckius Callino 173 sqq.; mire Schaeferus: *Sua sibi quique jura ita servantes, ut aequilibrium inter omnes oriatur*. Recte Muellerus Dorr. II, 541. ita explicat, ut poeta dixerit, populum debere simpliciter aut probare aut reprobare τὰ τοῖς βασιλεῦσι καὶ τοῖς γέρουσι δόξαντα. Ῥῆτραι sunt leges quae vel proponuntur a regibus cum Senatu, vel a populo sanciuntur. Dicit igitur poeta, non *ad quales* ῥήτρας respondendum sit, sed *quae* sint ῥῆτραι referendae. Ut apud Homerum ubique est ἀμείβεσθαί τινα μύθῳ, μύθοις, ἐπέεσσι. Adde Krebsium in Lectt. Diodor. 140 sqq. et Epimetro 250 sqq. 9. τε Dindorfius. Versus 9—14. unus Diodorus habet. Fateor mihi suspectos esse. 10. Diodorus μηδέτι ἐπιβουλεύειν τῇδε πόλει. Placuit hominibus doctis hariolari τῇδε πόλει σκολιόν, βλαβερόν, σφαλερόν, τῇδε πόλῃϊ νέον. 11. δέ Krebsius: vulgo τε. 12. ἀνέφηνε Maius; ἀπέφηνε tacite Bachius.

3.

Ἡμετέρῳ βασιλῆϊ, θεοῖσι φίλῳ Θεοπόμπῳ,
ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον·
Μεσσήνην ἀγαθὴν μὲν ἀροῦν, ἀγαθὴν δὲ φυτεύειν.

4.

Ἀμφ' αὐτὴν δ' ἐμάχοντ' ἐννεακαίδεκ' ἔτη
νωλεμέως, αἰεὶ ταλασίφρονα θυμὸν ἔχοντες
αἰχμηταὶ πατέρων ἡμετέρων πατέρες·
εἰκοστῷ δ' οἱ μὲν κατὰ πίονα ἔργα λιπόντες
φεῦγον Ἰθωμαίων ἐκ μεγάλων ὀρέων.

5.

Ὥσπερ ὄνοι μεγάλοις ἄχθεσι τειρόμενοι
δεσποσύνοισι φέροντες ἀναγκαίης ὑπὸ λυγρῆς
ἥμισυ πάνθ' ὅσσον καρπὸν ἄρουρα φέρει.

6.

Δεσπότας οἰμώζοντες ὁμῶς ἄλοχοί τε καὶ αὐτοί,
εὖτέ τιν' οὐλομένη μοῖρα κίχοι θανάτου.

Fr. 3. Paus. IV, 6, 2. Ὁ Θεόπομπος ἦν καὶ ὁ πέρας ἐπιθεὶς τῷ πολέμῳ· μαρτυρεῖ δέ μοι καὶ τὰ ἐλεγεῖα τῶν Τυρταίου λέγοντα· Ἡμετέρῳ κτλ. De mensura versus 1. vide Hermann. Orph. 693. Versum tertium servatum a Scholiasta Platonis Alcib. I, 338. Legg. 448. Bekker. adjiciendum docuit Buttmannus in Alcib. I, 122, C.

Fr. 4. Strabo VI, 279. Μεσσήνη ἑάλω πολεμηθεῖσα ἐννεακαίδεκα ἔτη, καθάπερ καὶ Τύρταιός φησι· Ἀμφ' αὐτὴν κτλ. Confer Pausan. IV, 15, 1. qui versus tres priores affert; et IV, 13, 4., cll. Mueller. Dorr. I, 145. Franckius Callin. 193. ad Ὑποθήκας rettulit frr. 4. 5. 6.

Fr. 5. Paus. IV, 14, 3. Τιμωρίαι ἃς ὕβριζον ἐς τοὺς Μεσσηνίους Τυρταίῳ πεποιημέναι εἰσίν· Ὥσπερ κτλ. Versu 3. libri ἥμισυ πάνθ' ὅσσων: Kuhnius ἥμισυ πᾶν, ὅσσον. Ἥμισυ πάνθ' recte defendit Bernhardy Synt. 334., sed ὅσσον res ipsa requirebat. Xen. Cyrop. III, 3, 47. ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται οἱ ἡττηθέντες. Anab. VI, 2, 10. ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ ὅλου στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί.

Fr. 6. Paus. l. c. Ὅτι δὲ καὶ συμπενθεῖν ἔκειτο αὐτοῖς ἀνάγκη, δεδήλωκεν ἐν τῷδε· Δεσπότας κτλ.

II. Ὑποθῆκαι.

7.

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον·
ἣν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὓς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.
Εἰ δ' οὔ πως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὥρη
γίγνεται οὐδ' αἰδὼς εἰσοπίσω τελέθει,
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων,
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι·
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,

II. Ὑποθῆκαι. Fr. 7. Lycurgus in Leocrat. XXVIII. Illud γὰρ ab initio positum spectat ad versum 13. 14. θνήσκωμεν κτλ.; longius disjunctum est ab illis, quoniam poetae menti miserrima exsulum fortuna obversabatur, quam adumbraret vividissime. Versus 3—13. quasi parenthesis loco habendi. Hinc explicatur quod εἰ δ' οὔ πως sqq. dixit poeta versu 11. Versu 1. ἐπὶ προμάχοισι libri: ἐνὶ Franckius. 3. ἣν δ' αὐτοῦ Franckius: vulgo τὴν δ' αὐτοῦ vel τὴν δ' αὖτοῦ. 9. τε respondet particulae μέν, v. Hermann. Viger. 836. 11. εἰ δ' οὕτως Franckius: εἰθ' οὕτως libri. Ego εἰ δ' οὔ πως. Hermannus in Zimmermanni Diar. Philol. 1835, 75. p. 606. Εἰ δ' οὕτως οὔτ' ἀνδρὸς ἀλ. οὐδ. ὦ. γ. οὐδ' αἰδώς, ἔς τ' ὀπίσω τελέθει, θυμῷ κτλ. Voci οὔτε respondere ἔς τε omisso v. οὐ, de quo dixit in Eur. Iph. Taur. 1335. 12. Codd. ABP οὔτ' ὀπίσω, L οὔτ' ὀπίσω (sic), Z οὐδ' ἐς τ' ὀπίσω. Tum pro vulg. τελέθει codd. AB τέλος. Num οὐδ' ὅπις ἐς τὸ τέλος? 14. Distinxi post v. παίδων. 19. Confer Homeri Il. X, 71 sqq.

μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς·
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλῃς ἐν χερσὶν ἔχοντα —
αἰσχρὰ τάδ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν —
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἄγλαὸν ἄνθος ἔχῃ·
ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν,
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.
Ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

8.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει·
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπὶδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
κῆρας ὁμῶς αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς Ἄρεος πολυδακρύου ἔργ' ἀΐδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ πρὸς φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.

---

25. Legebatur φίλαις ἐνὶ χ., Z φίλ' ἐνὶ χ. Reliqui ἐν. 26. Libri τά γ'; Baiterus et Sauppius τάδ', Hermannus Epist. ad Bachium data p. 4. τά τ'. Ibidem νεμεσήτ' ἐνιδεῖν Reiskius. 29. θηητός Reiskius: libri θνητοῖσιν. 31. Vide Homeri Il. M, 457 sqq.

Fr. 8. Servavit Stobaeus Floril. L, 7. Versu 5. ἐχθράν, ut VII, 20. αἰσχρᾶς, non ἐχθρὴν, αἰσχρῆς, v. Exercitatt. Critt. nostras post Eustathii Prooem. 41 sqq. 6. κῆρας αὐγαῖς A: κῆρας ἐπ' αὐγαῖσιν B. Grotii emendationem ab Hermanno nuper probatam suscepimus. An ἐπ' ἴσ' αὐγαῖς? 7. Legebatur Ἄρεως. Ibidem ἀΐδηλα Arsenius et margo Gesneri. Vulgo ἀρίδηλα. 9. πρὸς φευγ. B, v. Intpp. Greg. Cor. 104 sqq.; παρὰ φ. Voss., μετὰ φ. vulgo.

οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
Οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσσ', ἢν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
Ἀργαλέον γὰρ ὄπισθε μεταφρενον ἐστὶ δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ·
αἰσχρὸς δ' ἐστὶ νέκυς κακκείμενος ἐν κονίῃσιν
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς·
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων δηΐον ἄνδρ' ἑλέτω·
καὶ πόδα πὰρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
Ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλας
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς
τοῖσι πανοπλίταις πλησίον ἱστάμενοι.

---

15. Fortasse ταῦτ' ἀλέγων, v. Intpp. Pind. Ol. II, 78. οὐδ' εἷς δ' ἄν π. Ursinus. 17. ἀργαλέον δαΐζειν illustrat Bernhardy Synt. 360. 19. αἰσχρόν Brunckius ex marg. Stobaei. κακκείμενος A. Vulgo κατακείμενος. 27. πολεμίζων Arsenius. 29 sqq. Confer Homeri Il. Ν, 128 sqq. 37. ἐς αὐτούς, hostes. Franckius ἐς ἄκρους principes, duces. 38. ἐγγύθεν ἱστ. B.

9.

Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικώη δὲ θέων Θρηΐκιον Βορέην,
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω πλέον,
οὐδ' εἰ Ταντα λίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς
— οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ —
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
Ἦδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
καὶ κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ·
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης·
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,

Fr. 9. Affert Stobaeus Floril. LI, 1 Ibidem 5. sunt vv. 15—44. Versum 1. citat Plato Legg. I, 629, A. II, 660, E., ubi *τιθείμην*, Stobaeus *τιθείην*. Vide Valckenar. ad Herod. II, 141. Confer Theognidea 701 sqq. 6. Sic B: *Κινυρέοιο μᾶλλον* Trincav. *Κινύρεω βάθιον* Camerarius. Vide Platonem Rep. III, 408, B. et Legg. III, 660, E. *Ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον.* Macarius 451. Walz. *Τὸν Μίδου πλοῦτον ἔχειν· ἐν ὑπερβολῇ λέγεται.* De Cinyrae opulentia vide Valckenarii Callimachea 118. 8. *Μελίγηρυς Ἄδραστος* est Platoni Phaedr. 269, A. 13. *ἥδ' ἀρετή, τόδ' ἄεθλον* Hermannus: B *τόγ' ἄριστον — ἄεθλον*: vulgo *ἡ δ' ἀρετή, τόδ' ἄεθλον*. 19. Libri *δὲ πεσεῖν*. Emendavit Hermannus Ep. ad Bach. p. 5. et Emperius.

πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὁμφαλοέσσης
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος·
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τίμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
Οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅντιν' ἀριστεύοντα μένοντά τε μαρνάμενόν τε
γῆς περὶ καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ·
εἰ δὲ φύγῃ μὲν κῆρα ταναηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην·
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι·
γηράσκων δ' ἀστοῖσι μεταπρέπει οὐδέ τις αὐτὸν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.
Ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πόλεμον.

10.

Αἴθωνος δὲ λέοντος ἔχων ἐν στήθεσι θυμόν.

11.

Πρὶν ἀρετῆς πελάσαι τέρμασιν ἢ θανάτου.

---

31. Vulgo οὐδέποτε: emendavit Hermannus. 37. μιν. Omittit A. Malim μέν. Vulgo versus hoc ordine se excipiebant: 41. 42. 39. 40. Transponendos docuit Thierschius Actt. Monacc. III, 636. Confer Theognidea 935 sqq. 41. πολέμου Gesneri Margo et Ursinus, qui cum Trinc. θυμὸν exhibet.

Fr. 10. Galenus de Hippocr. et Platon. I, 267. Basil. Τύρταιος δέ γε, καθάπερ οὖν καὶ Ὅμηρος καὶ Ἡσίοδος καὶ ἁπλῶς εἰπεῖν ἅπαντες οἱ ποιηταὶ σφοδρότατον ἔχειν φασὶ τοὺς λέοντας τὸν θυμὸν, ὥστε καὶ τῶν ἀνθρώπων ὅστις ἂν ᾖ θυμοειδέστατος εἰκάζουσι λέοντι.

Fr. 11. Plutarchus Morall. II, 1039.

12.

Eustratius in Aristotelis Eth. Nic. III, 8. 5. ad verba: *Καὶ οἱ πρὸ τῶν τάφρων καὶ τῶν τοιούτων παρατάττοντες* haec habet: *Τοῦτο περὶ Λακεδαιμονίων λέγοι ἄν· τοιαύτην γάρ τινα μάχην ὅτε πρὸς Μεσσηνίους ἐμαχέσαντο, ἐπολέμουν, ἧς καὶ Τύρταιος μνημονεύει.* De pugna ista *ἐπὶ τῇ μεγάλῃ τάφρῳ* tertio belli anno pugnata confer Paus. IV, 6, 1; 17, 2. Polyb. IV, 22. Muelleri Dorr. I, 171. ed. Anglic.

III. *Ἐμβατήρια ἢ πολεμιστήρια μέλη.*

13.

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου,
κοῦροι πατέρων, πολιῆται,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως πάλλοντες,
μὴ φειδόμενοι τᾶς ζωᾶς·
οὐ γὰρ πάτριον τᾶς Σπάρτας.

14.

Ἄγετ', ὦ Σπάρτας ἔνοπλοι κοῦροι, ποτὶ τὰν Ἄρεος κίνασιν.

III. *Ἐμβατήρια ἢ πολεμιστήρια μέλη.* De embateriis vide Muelleri Dorr. II, 334. Doricam dialectum habent. Carmen decimum tertium affert Dio Chrysostomus I, 92. Rsk. indeque sumptum Tzetzes Chill. I, 26. v. 692 sqq. Dixit de his versibus praeter alios Hermannus Viger. 935 sq. 2. *κοῦροι πατέρων digni patribus filii.* Soph. El. 365. 4. Libri *βάλλοντες*: emendavit Thierschius. *Commemorantur sinistrae dextraeque manus officia.* Hermannus. Cogitatione adde *δεξιᾷ δέ*, quod hastae mentio per se docet. Vide Bernhardyi Synt. 457. 6. Tzetzes *τᾷ Σπάρτᾳ.*

Fr. 14. Hephaestio VIII, 1. p. 46, 3. Gaisf. affert, sed omisso nomine auctoris: *Τὸ τὸν σπονδεῖον ἔχον, ἀλλὰ μὴ τὸν ἀνάπαιστον παραλήγοντα, εἰσὶν οἳ Λακωνικὸν καλοῦσι, προφερόμενοι παράδειγμα· Ἄγετ' κτλ.*

15.

Cantilena Messeniorum.

Ἐς τε μέσον πεδίον Στενυκλήριον ἐς τ' ὄρος ἄκρον
Εἶπετ' Ἀριστομένης τοῖς Λακεδαιμονίοις.

III. Mimnermi Colophonii.

Olymp. XXXVII, 4.

Suidas: *Μίμνερμος Λιγυρτιάδου, Κολοφώνιος ἢ Σμυρναῖος ἢ Ἀστυπαλαιεύς, ἐλεγειοποιός. Γέγονε δὲ ἐπὶ τῆς λζ' Ὀλυμπιάδος, ὡς προτερεύειν τῶν ζ σοφῶν· τινὲς δὲ αὐτοῖς καὶ συγχρονεῖν λέγουσιν. Ἐκαλεῖτο δὲ καὶ Λιγναστάδης, διὰ τὸ ἐμμελὲς καὶ λιγύ. Ἔγραψε βιβλία ταῦτα πολλά.* (*βιβλία ἐρωτικὰ τὰ πολλὰ* conj. Bernhardy.)

1.

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσέης Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή·
ἄνθεα * ἥβης γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν· ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ κακὸν ἄνδρα τιθεῖ,

Fr. 15. Paus. IV, 16, 4. *Ἀριστομένει ὡς ἀνέστρεψεν ἐς τὴν Ἀνδανίαν, ταινίας αἱ γυναῖκες καὶ τὰ ὡραῖα ἐπιβάλλουσαι τῶν ἀνθέων ἐπέλεγον ᾆσμα τὸ καὶ ἐς ἡμᾶς ἔτι ᾀδόμενον· Ἔς τε κτλ.*

III. Mimnermi Colophonii. Fr. 1. Stobaeus Floril. LXIII, 16. Versus 1. 2. respicit Horatius Epp. I, 6, 65 sq. *Si, Mimnermus uti censet, sine amore jocisque. Nil est jucundum, vivas in amore jocisque.* 2. Hermannus Viger. 920. 4. *ἄνθεα εἰ ἥβης* edd. vett.; *εἰ ἥβης ἄνθεα* A: *τῆς ἥβης* Grotius: *ἄνθε', ἃ τῆλ' ἥβης* Franck. Callin. 180. An *εὐανθὴς ἥβη γ'. ἁρπαλέα* vel *ἁρπαλέη*? Pind. Isthm. VI, 34. *εὐανθέ' ἀλικίαν.* 5. *ἐπεί τ'* AB; *ἐπεὶ δ'* vulgo, v. Hermann. Viger. 929. Brunckius *ἐπὴν δ'*. 6. *ὁμῶς καὶ καλὸν* vulgo: *ὁμῶς καὶ κακὸν* Hermannus, v. fr. 5, 3. 7.: *ὅμως καὶ καλὸν* Doederleih. in Soph. O. C. 662.

αἰεὶ μὲν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι
οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου·
ἀλλ' ἐχθρὸς μὲν παισὶν, ἀτίμαστος δὲ γυναιξίν·
οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός.

2.

Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυανθέος ὥρη
ἔαρος, ὅτ' ἆψ αὐγῇς αὔξεται ἠελίου,
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον, ἄνθεσιν ἥβης
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακὸν
οὔτ' ἀγαθόν· Κῆρες δὲ παρεστήκασι μέλαιναι,
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο· μίννυνθα δὲ γίγνεται ἥβης
καρπός, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος·
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα δὴ τεθνάναι βέλτιον ἢ βίοτος·
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος
τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει·
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀίδην·
ἄλλος νοῦσον ἔχει θυμοφθόρον οὐδέ τις ἔστιν
ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

3.

Τὸ πρὶν ἐὼν κάλλιστος, ἐπὴν παραμείψεται ὥρη,
οὐδὲ πατὴρ παισὶν τίμιος οὔτε φίλοις.

Fr. 2. Stobaeus Floril. XCVIII, 13. Vers. 1. Homeri Il. Z, 146 sqq. Simonid. Eleg. fr. LX. πολυανθέος A. Vulgo πολυάνθεμος. 2. αἶψ' libri: ἆψ Brunckius. Ibidem αὐγὴ libri: correxi. 9. ἐπεὶ Brunckius. 11. ἄλλοτε οἶκος A: vulgo ἄλλοτέ τ' οἶκος: Grotius et Brunckius ἄλλοτε δ' οἶκος. 16. διδοῖ B: reliqui διδῷ.

Fr. 3. Stobaeus Floril. CXV, 1. 1. Brunckius ἐπήν. 2. φίλοις Voss. Reliqui φίλος.

4.

Τιθωνῷ μὲν ἔδωκεν ἔχειν κακὸν ἄφθιτον ὁ Ζεὺς
γῆρας, ὃ καὶ θανάτου ῥίγιον ἀργαλέου.

5.

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιοῦμαι δ' ἐρορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ
ἤβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὃ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

6.

Αἴ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

7.

Μήτε τινὰ ξείνων δηλεύμενος ἔργμασι λυγροῖς
μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
τὴν σ' αὐτοῦ φρένα τέρπε, δυσηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Fr. 4. Stobaeus Floril. CXVI, 33. *Μιμνέρμου Ναννοῦς.* De Nannone *αὐλητρίδι* poetae amoribus vide Hermesianact. Ath. XIII, 597, F. 1. *σχεῖν* A Voss. Trinc. *ὁ Ζεὺς* om. AB Voss., *ὁ* Trincavellus.

Fr. 5. Stobaeus Floril. CXVI, 34. *Μιμνέρμου Ναννοῦς.* Sed omissis tribus primis versibus, quos ex Theognideis 1017 sqq. supplevit Brunckius. 1. Cfr. Sapphonis fr. 2. 4. Theognidis codex Vatic. *ὀλιγοχρόνιος.*

Fr. 6. Diogenes Laert. I, 60. Cfr. ad Solon. fr. 20.

Fr. 7. Anth. Pal. IX, 50. Planud. I, 89. posterius distichon servatur: alterum ex Theognideis 793 sqq. assutum. Welckero Prolegg. XCIX. Theognidis distichon cum Mimnermeo confiatum videtur. 1. *ξείνων* Mutinensis: vulg. *ξεῖνον.*

8.

Ἀληθίη δὲ παρέστω
σοὶ καὶ ἐμοὶ, πάντων χρῆμα δικαιότατον.

9.

Ἡμεῖς δ' αἰπὺ Πύλον Νηλήϊον ἄστυ λιπόντες
ἱμερτὴν Ἀσίην νησὶν ἀφικόμεθα·
ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες
ἐξόμεθ' ἀργαλέης ὕβριος ἡγεμόνες·
κεῖθεν δ' Ἀστήεντος ἀπορνύμενοι ποταμοῖο
θεῶν βουλῇ Σμύρνην εἵλομεν Αἰολίδα.

10.

Οἰδέ κοτ' ἂν μέγα κῶας ἀνήγαγεν αὐτὸς Ἰήσων
ἐξ Αἴης τελέσας ἀλγινόεσσαν ὁδόν,
ὑβριστῇ Πελίῃ τελέων χαλεπηρὲς ἄεθλον,
οὐδ' ἂν ἐπ' Ὠκεανοῦ καλὸν ἵκοντο ῥόον.

Fr. 8. Stobaeus Floril. XI, 1. *Μιμνέρμου Νάννοῦς.* Theognid. 1227 sq.

Fr. 9. Strabo XIV, 634. *Ἀπελθόντες παρὰ τῶν Ἐφεσίων οἱ Σμυρναῖοι στρατεύουσιν ἐπὶ τὸν τόπον ἐν ᾧ νῦν ἐστὶν ἡ Σμύρνα, Λελέγων κατεχόντων· ἐκβαλόντες δ' αὐτοὺς ἔκτισαν τὴν παλαιὰν Σμύρναν. Ὕστερον δὲ ὑπὸ Αἰολέων ἐκπεσόντες κατέφυγον εἰς Κολοφῶνα καὶ μετὰ τῶν ἐνθένδε ἐπιόντες τὴν σφετέραν ἀπέλαβον· καθάπερ καὶ Μίμνερμος ἐν τῇ Νανnοῖ φράζει μνησθεὶς τῆς Σμύρνης ὅτι περιμάχητος ἀεί· Ἡμεῖς κτλ.* Cfr. Muelleri Dorr. I, 98. 3. Libri *ἐς δ' ἄρα τήν.* Correxit Wyttenbachius. 5. Paus. VII, 5, 1. Herod. I, 150. *Ἀλήεντος* Brunckius et Tzschuckius: libri corrupte. Vide Paus. VIII, 28, 2. Tzetzes Lycophr. 868. 6. *εἴδομεν* libri. Correxit Brunckius.

Fr. 10. Strabo I, 46 sq. *Μίμνερμος ἐν τῷ Ὠκεανῷ ποιήσας τὴν οἴκησιν τοῦ Αἰήτου πρὸς τοῖς ἀνατολαῖς ἐκτὸς πεμφθῆναί φησιν ὑπὸ τοῦ Πελίου τὸν Ἰάσονα καὶ κομίσαι τὸ δέρας· — Οὐδὲ κιλ.* 1. Libri *οὐδ' ὁκόταν:* correxit Porsonus Adversar. 311. Hermannus Viger. 924 sq. *μέγα κῶας* Brunckius. Libri *μετὰ κῶας.* 3. *χαλεπηρὲς* Coraës. Libri *χαλεπῆρες.* 4. Casaubonus *εὖτ' ἄν.*

11.

Αἰήταο πόλιν, τόθι τ' ὠκέος ἠελίοιο
ἀκτῖνες χρυσέῳ κείαται ἐν θαλάμῳ
Ὠκεανοῦ παρὰ χείλεσ', ἵν' ᾤχετο θεῖος Ἰήσων.

12.

Οὐ μὲν δὴ κείνου γε μίνος καὶ ἀγήνορα θυμὸν
τοῖον ἐμεῦ προτέρων πεύθομαι, οἵ μιν ἴδον
Λυδῶν ἱππομάχων πυκινὰς κλονέοντα φάλαγγας
Ἕρμιον ἀμπεδίον, φῶτα φερεμμελίην·
τοῦ μὲν ἄρ' οὔποτε πάμπαν ἐμέμψατο Παλλὰς Ἀθήνη
δριμὺ μένος κραδίης, εὖθ' ὅγ' ἀνὰ προμάχους
σεύαιτ', αἱματόεντος ἐν ὑσμίνῃ πολέμοιο
πικρὰ βιαζόμενος δυσμενέων βέλεα·
οὐ γάρ τις κείνου δηΐων ἔτ' ἀμεινότερος φὼς
ἔσκεν ἐποίχεσθαι φυλόπιδος κρατερῆς
ἔργον, ὅτ' αὐγαῖσιν φέρετ' ὠκέος ἠελίοιο.

13.

Ἥλιος μὲν γὰρ ἔλαχεν πόνον ἤματα πάντα
οὐδέ ποτ' ἄμπαυσις γίγνεται οὐδεμίη

Fr. 11. Strabo l. c. *Καὶ ὑποβάς· Αἰήταο κτλ.*

Fr. 12. Stobaeus Floril. VII, 12. Dixisse statuunt poetam de Andraemone Pylio, a quo Colophonem conditam dixerat *Μίμνερμος ἐν τῇ Ναννοῖ*, Strabo l. c. Cfr. Welckeri Cycl. Epic. 187. 6. A *εὖθ' ὅτ' ἀνὰ προμάχους σεύηθ' αἱματόεν τόεν ὑσμίνη πολέμιον* (sic). Brunckius: *ἔσθ' ὅτ' ἀνὰ πρ. σεύετο, αἱμ. ἐν ὑ. π. π. βιαζόμενος.* Gaisfordus: *σεῦ ἠδ' αἱματόεντος ἐν ὑ. π. π. βιαζομένου.* Schowius: *ὁππότ' ἀνὰ πρ. σεύεθ', ὁ δ' αἱμ.* et *βιαζόμενος.* Et *βιαζόμενος* Schowii codices. Hinc conformavi. 9. *ἀμεινότερος.* Vide Buttm. Gr. Max. I, 280. 11. Fort. *ὀξέος*, cll. 11, 1.

Fr. 13. Athen. XI, p. 470, A. *Μίμνερμος δ' ἐν Ναννοῖ ἐν εὐνῇ φησι χρυσῇ κατεσκευασμένῃ πρὸς τὴν χρείαν ταύτην ὑπὸ Ἡφαίστου τὸν Ἥλιον καθεύδοντα περαιοῦσθαι πρὸς τὰς ἀνατολὰς αἰνισσόμενος τὸ κοῖλον τοῦ ποτηρίου· λέγει δ' οὕτως· Ἥλιος κτλ.* De Solis poculo vel *εὐνῇ κοίλῃ* cfr. Stesich. fr. X. Klein., Mueller. Dorr. I, 425 sqq., Nitzsch. Hom. Odyss. III, 1. Hermann. Opuscc. III, 137 sq.

ἵπποισίν τε καὶ αὐτῷ, ἐπεὶ ῥοδοδάκτυλος Ἠὼς
Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰσαναβῇ·
τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνὴ
κοίλη, Ἡφαίστου χερσὶν ἑλημένη
χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ' ὕδωρ,
εὖδονθ' ἁρπαλέως, χώρου ἀφ' Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα οἱ θοὸν ἅρμα καὶ ἵπποι
ἑστᾶσ', ὄφρ' Ἠὼς ἠριγένεια μόλῃ·
ἔνθ' ἐπέβη ἑτέρων ὀχέων Ὑπερίονος υἱός.

IV. Solonis Atheniensis.

Olymp. XLVI.

Suidas: *Σόλων Ἐξηκεστίδου, Ἀθηναῖος, φιλόσοφος, νομοθέτης καὶ δημαγωγός. Γέγονε δὲ ἐπὶ τῆς μζ' Ὀλυμπιάδος, οἱ δὲ νς'. Ἐπιβουλευθεὶς δὲ ὑπὸ Πεισιστράτου τοῦ τυράννου ἀπεδήμησεν ἐν Κιλικίᾳ καὶ ἔκτισε πόλιν ἣν Σόλους ἐκάλεσεν ἐξ ἑαυτοῦ· οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασὶ καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. Ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες Ἄξονες ὠνομάσθησαν διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι, ποίημα δὲ ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται, ὑποθήκας δὲ ἐλεγείας καὶ ἄλλα. Ἔστι δὲ καὶ οὗτος εἷς τῶν ἑπτὰ ὀνομαζομένων Σοφῶν καὶ φέρεται αὐτοῦ τὸ ἀπόφθεγμα τόδε· Μηδὲν ἄγαν, ἢ τὸ· Γνῶθι σαυτόν.*

I. *Σαλαμίς.*

1.

Αὐτὸς κήρυξ ἦλθον ἀφ' Ἱμερτῆς Σαλαμῖνος,

3. ἐπὴν Casaubonus, v. ad fr. I, 5. 5. κύλη Eustathius p. 1632, 28. *Μίμνερμος, φασὶ, τὸ τοῦ ἡλίου καλούμενον ποτήριον εὐνὴν κύλην εἶπεν Ἡφαίστου χερσὶν ἑλημένην.* Qui merus lapsus est. 7. ὑπόπτερος Heynius Apollod. 394. Libri ὑπόπτερον. 11. ἑτερέων BP: σφετέρων Bergkius. Ἑτέρων ὀ. ἐπέβη explicat Welckerus Syllog. Epigr. 11. *iterum conscendit.* Nos: *ibi conscendit alterum currum suum*, relicta illa εὐνῇ, cfr. v. 9.

κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

* * *

Εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινίτης
ἀντί γ' Ἀθηναίου, πατρίδ' ἀμειψάμενος·
αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο·
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμιναφετῶν.

* * *

Ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
ἱμερτῆς χαλεπὸν τ' αἶσχος ἀπωσόμενοι.

II. Τὰ περὶ τῆς Ἀθηναίων πολιτείας.

2.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει·
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἁρπαδίῃσιν

Solonis I. fr. 1. Plutarchus Solon. I. Ἐλεγεῖα κρύφα συνθεὶς καὶ μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος. Ὄχλου δὲ πολλοῦ συνδραμόντος ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον ἠ ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστὶν ἀρχή· Αὐτὸς κτλ. Τοῦτο τὸ ποίημα Σαλαμὶς ἐπιγέγραπται καὶ στίχων ἑκατόν ἐστι χαριέντως πάνυ πεποιημένων. Vide Diog. Laert. I, 46. Demosth. περὶ παραπρεσβ. 201. Rsk. 2—8. servavit Diogenes Laertius. 6. Libri τῶν Σαλαμῖν' ἀφέτων, ἀφέντων. Emendarunt Is. Vossius, Imm. Bekkerus, God. Hermannus Viger. 927. Acerbe Σαλαμιναφέτας vocat, qui eam insulam hostibus permissuri essent. Bernhardy Synt. 114. τῶν Σαλαμῖν' ἀφετῶν; sed v. Lobeck. Paralipp. II, 428. Schaeferus τῶν Σαλαμινοφύγων. Ultimum distichon affert Ulpianus Demosth. de Fals. Leg. 152. Dobson. ubi est χαλεπὸν αἶσχος ἀπωσάμενοι: ἀπωσάμενοι affertur ex Scholl. Augustanis 318. ibidem. Et χαλεπόν τ' αἶσχος ἀπωσάμενοι Arsen. Viol. 304.

II. Fr. 2. Demosthenes de Fals. Leg. 421. Rsk. Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν' ἴδηθ' ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἷος οὗτος ἀνθρώπους. 4. Aristoph. Eqq. 1168 sqq.

ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι,
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ·

* * *

πλουτεῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι

* * *

οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα·
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
Τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
εἰς δὲ κακὴν ταχέως ἦλυθε δουλοσύνην,
ἥ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην·
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους.
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν

Post v. 10. inserunt versum: χρήματα θ' ἱμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι, pessime: v. fr. XI, 7. Sylburgius ingeniose interponit fr. 6. 16. ἀποτισομένη Marklandus et ex correctione codex Bavaricus; cfr. XI, 76. Vulgo ἀποτισαμένη. 19. ἣ libri et Bekkerus: ἣ vulgo. 21 sq. »Recte rationem tenere si voluisset, dicendum fuerat τῶν ἀδικούντων τοὺς φίλους ἐν ταῖς συνόδοις; qui genitivus cohaereret cum ἐκ δυσμενέων. Jam vero dixit τοῖς ἀδικοῦσι, qui dativus tantumdem valet atque ὑπὸ τῶν ἀδικούντων. Injurias multifarias dare cives civibus in familiaribus congressibus possunt, inprimis vero rixas, verberationes, caedes, quae sunt injuriarum atrocissimae.« Reiskius. Complures libri φίλοις. Schaeferus: »Ἐν. συνόδοις verto in conflictu: τοῖς ἀδικοῦσι autem est dativus quem dicas incommodi.« 23. Confer fr. XXVII, 6 sqq. Plut. Sol. XIII. Ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων. Ἢ γὰρ ἐγεώργουν ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες ἐκτημόριοι προσαγορευόμενοι καὶ θῆτες, ἢ χρέα λαμβάνοντες ἐπὶ τοῖς σώμασιν ἀγώγιμοι τοῖς δανείζουσιν ἦσαν, οἱ μὲν αὐτοῦ δουλεύσοντες, οἱ δ' ἐπὶ τῇ ξένῃ πιπρασκόμενοι, sqq.

ἱκνεῖνται πολλὸν γαῖαν ἐς ἀλλοδαπὴν
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.

* * *

Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
αὐλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως
* εἴ γέ τις φεύγων ἐν μυχῷ, ἐν θαλάμῳ.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει,
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμιριτίθησι πέδας,
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιὰς ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἐστὶ δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

3.

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.

---

27. »Jungenda ἔτ' οὐκ, i. q. οὐκέτι. Vide ad Soph. Trach. 161.« Schaefer. Idem Schaeferus: »Οὐκ ἐθέλουσι. Vide not. ad Greg. Cor. 135 sq. Dictum est προσωποποιητικῶς neque exuit nativam significationem.« 29. Sic libri optimi: Bodlejanus codex εἴ γέ τις ἢ φ., alii εἰ καί τις, ἤ γέ τις, εἴη γέ τις, Brunckius εἴ κέ τις ἦ; H. Wolfius εἴ γέ τις ἦ φ. Schaefero εἰ καί τις φεύγων non displicet. Paullo ante Bekkeri libri πάντων: alii πάντας.

Fr. 3. Plutarchus Sol. XVIII. Ἐπισημαίνεται αὐτὸς αὑτῷ τὴν ἐξίσωσιν οὕτως· Δήμῳ κτλ. 1. ἐπαρκεῖν Brunckius: ἀπαρκεῖ Coraës. Schaeferus: »Vulgatum magis placet. Verte: quantum ei auxilietur (contra divitum injurias.)« Immo ἐπαρκεῖ i. q. ἀπαρκεῖ. 2. Ἐπορεξάμενος H. Stephanus Thes. s. v. explicat: »nec etiam tribuens praeter eum quem habebat, insuper dans porrecta manu.« 4. Καὶ τούτων προὐνόησα, ἵνα μηδὲν ἀπρεπὲς ἢ ἄδικον ἔχωσι. Coraës.

ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι, 5
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

4.

Ὧδ' ἂν δῆμος ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος.

5.

Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

6.

Τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται.

7.

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς·

Fr. 4. Plutarchus Comp. Sol. et Poplic. II. *Καὶ τοῦτο δ' ἔοικε συνιδεῖν πρότερος ὁ Σόλων, ὅτι δῆμος Ὧδ' ἂν ἄριστα κτλ.* Hinc fortasse scribendum: *Δῆμος δ' ὧδ' ἂν ἄρ.*

Fr. 5. Plutarchus Solon. XXV. Dictum in eos quibus leges a Solone latae displicerent.

Fr. 6. Clemens Alex. Stromm. VI, 740. Potter. Confer Theognid. 153. Oraculum Herod. VIII, 77. Pindar. Olymp. XIII, 12; Diog. L. I, 59. ex dicto Solonis refert *τὸν μὲν κόρον τοῦ πλούτου γεννᾶσθαι, τὴν δ' ὕβριν ὑπὸ τοῦ κόρου.*

Fr. 7. Diodorus Sic. Excc. Vatic. p. 23. Dindorf. *Λέγεται Σόλων καὶ προειπεῖν τοῖς Ἀθηναίοις τὴν ἐσομένην τυραννίδα δι' ἐλεγείων· Ἐκ κτλ.* Versus 1—4. affert Diog. L. I, 50., distichon alterum Diod. Sic. XIX, 1., primum Plutarchus Sol. III. Versu 1. Diogenes *φέρεται.* 2. *λαμπρῆς* Diogenes, v. Exercitatt. Critt. post Eustath. p. 41 sq. Post primum distichon vulgo infarciunt haec:

Ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

Habet haec unus Plutarchus l. c. *Ἐν δὲ τοῖς φυσικοῖς ἁπλοῦς ἐστι λίαν καὶ ἀρχαῖος, ὡς δῆλον ἐκ τούτων· Ἐκ νεφέλης — ἀστεροπῆς· Ἐξ ἀνέμων κτλ.* Ex hujus elegiae tenore ea verba eliminanda esse evicimus in Exx. Critt. p. 42. Solon in alia elegia more poetarum videtur populum cum mari comparavisse,

ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μοναρχου
δῆμος ἀϊδρίῃ δουλοσύνην ἔπεσεν·
Λίην δ' ἐξάραντ' οὐ ῥᾴδιόν ἐστι κατασχεῖν
ὕστερον, ἀλλ' ἤδη χρὴ * πάντα νοεῖν.

8.

Λείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει ἀληθίης ἐς μέσον ἐρχομένης.

---

cfr. Cicero pro Cluentio 49. *Ex quo intelligi potuit id, quod saepe dictum est: ut mare, quod natura sua tranquillum sit, ventorum vi agitari atque, turbari, sic populum Romanum sua sponte esse placatum: hominum seditiosorum vocibus, ut violentissimis tempestatibus concitari.* Δικαιοτάτη compara cum Theogn. 314. Scribendum autem πάντως. 3. εἰς δὲ τυράννου Diodorus XIX, 1. Hesychius: μοναρχου· τυράννου. 4. ἀϊδρίῃ Diodorus XIX, 1. ἀϊδρείῃ in Excerpt. Vat. et in edd. vett. Diogenis, ubi alii ἄϊδρις ἐών. 5. 6. haec Diodoro debemus Vaticano: codex Λείης δ' ἔξεραντα ῥαΐδιόν ἐστι κατασχεῖν. Dindorfius οὐ ῥῃδιον, v. Doederlein. in Niebuhrii Mus. Rhenan. III, 1. p. 13. Passovius apud Bach. ad Hermesian. 261 sq.: Λείης δ' ἐξάραντα τὸ ῥᾴδιον ἔστι κατασχεῖν; Pflugkius: Λουλείης δ' ἔξαντ' οὐ ῥῃδιόν ἐστιν ἀναστεῖν vel Λουλείῃ δ' εἴξαντ' οὐ ῥ., vel Βουλῇ δ' ἤδ' ἐξ ἀνδρὸς ἀϊδριός ἐστι κατασχεῖν. Suscepi meam emendationem, de qua exposui Exx. Critt. p. 43., nisi quod ibi ἐξαρθέντ' audacius conjectavi. Scripsi ἐξάραντ', h. e.: *Ubi autem nimis se extulerit, non facile est deprimere postea, sed jam omnia circumspectare decet.* Confer Plutarchum Solone XXX. Σόλων τὸ μνημονευόμενον εἶπεν, ὡς πρώην μὲν ἦν εὐμαρέστερον αὐτοῖς τὸ κωλῦσαι τὴν τυραννίδα συνισταμένην, νῦν δὲ μεῖζόν ἐστι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν συνεστῶσαν ἤδη καὶ πεφυκυῖαν. Diodorus: Σόλων παρελθὼν εἰς ἐκκλησίαν παρεκάλει τοὺς Ἀθηναίους καταλύειν τὸν τύραννον, πρὶν τελέως ἰσχυρὸν γενέσθαι. 6. χρὴ τάδε πάντα νοεῖν Passovius: χρὴ περὶ πάντα νοεῖν Dindorfius. Est qui malit χρὴ ἕνα πάντα νοεῖν.

Fr. 8. Diog. L. I, 49. Σόλων ἤξας εἴς τινα ἐκκλησίαν μετὰ θώρακος καὶ ἀσπίδος, προεῖπεν αὐτοῖς τὴν ἐπίθεσιν τοῦ Πεισιστράτου, — λέγων ταῦτα· Ἄνδρες Ἀθηναῖοι, τῶν μὲν σοφώτερος, τῶν δὲ ἀνδρειότερος εἰμί· σοφώτερος μὲν τῶν τὴν ἀπάτην Πεισιστράτου μὴ συνιέντων· ἀνδρειότερος δὲ τῶν ἐπισταμένων μὲν, διὰ δέος δὲ σιωπώντων. Καὶ ἡ βουλή, Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταυτί· Λείξει κτλ.

9.

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ἠὐξήσατε δόντες ἀνάσσειν
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην·
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε·
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος.

III. *Πρὸς Φιλόκυπρον.*

10.

Νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων

Fr. 9. Diog. L. I, 52. *Ὅτε τὸν Πεισίστρατον ἔμαθεν ἤδη τυραννεῖν, τάδε ἔγραψε πρὸς τοὺς Ἀθηναίους· Εἰ δὲ* sqq. Diodorus Excc. Vaticc. p. 24. Dindorf. *Καὶ μετὰ ταῦτα τυραννοῦντος ἔφη· Εἰ δὲ κτλ.* Adde Plutarch. Sol. XXX. Clemens Alex. Stromm. I, 328. Potter. 1. *δεινὰ* Diogenes. 2. *μὴ θεοῖσι ταύτην* Diodorus: *μῆνιν ἐπαμφ.* Plutarchus ante Coraën: *Ὃ δὲ νοῦς· Μὴ τῶν κακῶν, ἃ πάσχετε διὰ τὴν ὑμετέραν ἀνανδρίαν, μέρος ἐπαναφέρετε εἰς τοὺς θεούς.* α 3. *ηὐξήσατ' ἐρύματα δ.* Plutarchus et Diodorus. Coraës: *Δόντες αὐτοῖς ἐνέχυρα, τουτέστιν, οἷον ἐνεχυράσαντες τὴν ἐλευθερίαν ὑμῶν διὰ τῶν δεδομένων τῷ Πεισιστράτῳ κορυνηφόρων.* Vide Plut. Sol. XXX. Cic. Rep. I, 44. 4. *διὰ τοῦτο* Diodorus. *ἔσχετε* libri omnes, h. e. *accepistis; εἴχετε* Nicetas Choniates de rebus post capt. Constantinop. 375., *ἔσχετε* Bryanus. 5. Diogenes praeponit 7. 8. — *εἰς ἔτι μᾶλλον ἀνδρός* Plut. Clem.; *εἰς ἔπος αἰόλον ἀ.* rell. Plutarchus Sol. XXIX. *Αἰμύλον τι καὶ προσφιλὲς εἶχε* (Pisistratus) *ἐν τῷ διαλέγεσθαι.* 7. Cratinus *Νόμοις* apud Suidam s. v. *Τμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται.* Dicit Solon: *Singuli sapitis, cuncti desipitis.* *Ἀλώπεκος ἴχνεσι βαίνει vulpinatur.* 8. *κοῦφος ἔ. ν.* Diogenes et Diodorus.

III. Fr. 10. Plutarchus Sol. XXVI. Vita Arati II, 430. Buhle. *Μέμνηται τῶν ἐν Κύπρῳ Σολίων Σόλωνὲν ταῖς ἐλεγείαις ταῖς πρὸς Κυπράνορα τὸν βασιλέα, ὃς συμβουλευθεὶς ὑπὸ Σόλωνος κτίσαι τὴν πόλιν χάριν τοῦ ἀνδρὸς Σόλους ὠνόμασεν, ἀμοιβὴν ταύτην νέμων τῆς συμβου-*

τὴν * πόλιν ναίοις καὶ γένος ὑμέτερον·
αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

IV. Ὑποθῆκαι εἰς αὐτόν.

11.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·
Ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ πυθμένος εἰς κορυφήν·
ὃν δ' ἄνδρες τιμῶσιν, ὑφ' ὕβριος οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτῃ·
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
Ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ

λῆς αὐτῷ. Herod. V, 113. Φιλόκυπρον Σόλων Ἀθηναῖος ἀπικόμενος ἐς Κύπρον, ἐν ἔπεσι αἴνεσε τυράννων μάλιστα. 2. τὴν πόλιν ναίοις Plutarchus: τήν τε πόλιν ν. Stephanus, τὴν πόλιν εὖ ναίοις Reiskius; τήνδε πόλιν ν. Vita Arati. Τμέτερον Schaeferus explicat σόν. Minus accurate.

IV. Fr. 11. Stobaeus Floril. IX, 25. Vide Parodiam Cratetis in Juliani Oratt. VI, 199. VII, 213. 3. ὄλβον ἐμοί Bruncknius. 7. Vide Plutarchum Sol. II. Sententiae similes apud Hesiodum Opp. 322 sqq., Theognid. 197 sqq. 9. Nonnulli codd. πλοῦτος. 13. οὐκ ἐθέλων h. e. *licet obnitatur et reluctetur*. Fors. κοὐκ ἐθέλων. ἀναμίσγεται ἄτῃ Trincavellius: ante Bruncknium ἄτῃ. Intellige τῷ πλούτῳ.

ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δηώσας καλὰ ἔργα, θεῶν ἔδος, αἰπὺν ἱκάνει
οὐρανὸν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν·
λάμπει δ' ἠελίοιο μένος κατ' ἀπείρονα γαῖαν
καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν· —
τοιαύτη Ζηνὸς πέλεται τισις, οὐδ' ἐφ' ἑκάστῳ,
ὥσπερ θνητὸς ἀνὴρ, γίγνεται ὀξύχολος·
αἰεὶ δ' οὔ τι λέληθε διαμπερὲς, ὅστις ἀλιτρὸν
θυμὸν ἔχει· πάντως δ' ἐς τέλος ἐξεφάνη.
ὀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· εἰ δὲ φύγωσιν
αὐτοὶ μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ,
ἦλυθε πάντως αὖτις· ἀναίτια ἔργα τίνουσιν
ἢ παῖδες τούτων * ἠγεμόνων ὀπίσω.
θνητοὶ δ' ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε·
δεινὴν εἰς αὐτοῦ δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὖ τις ὀδύρεται· ἄχρι δὲ τούτου
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα·
χὤστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιέσθῃ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατευφράσατο·

---

23. Vulgo *πίονα*: *ἀπείρονα* B m. sec. Omittunt Voss. Arsen. 27. *αἰεὶ δ' οὔ τι λέληθε* duo codd. Schowii, Gaisfordii B m. sec. Vulgo *αἰεὶ οὔτε*; Wyttenbachius *ἀλλὰ ἓ οὔτε λέληθε*. 29. *ἦν δὲ* codd. Schowii: Trinc. *οἳ δέ*. 31. Sic distinguendum docuit Ed. Gerhard. Lectt. Apoll. 214. *αὖτις* Brunckius: libri *αὐτίκ'*. Ibidem *ἀναίτια* librorum scripturam revocavi: vulgo *ἀναίτιοι*. 32. Libri *ἡγεμόνων ὀπίσω*: vulgo ex emendatione Piersoni Verisimm. 186. *ἢ γένος ἐξοπίσω*, quod habet B m. sec. Wyttenbachius *ἢ προγόνων ὀπίσω*: Schneiderus ad Xenoph. Agesil. I, 2. ex scriptura codicis A apud Grotium, quae est *προγόνων ὀπίσω*, efficit *ἢ προγόνων ὀπίσω*. *Προγόνους* interdum dici *posteros*. 34. Vulgo ex H. Stephani emendatione *ἐσθλὴν δ' εἰς αὐτοῦ*. Trincavellus *ἐνδὴν ἣν αὐτός*; H. Stephanus in Corp. Poett. Graecc. *ἐσθλὴν ἣν αὐτός*; *ἐνδὴν εἰς αὐτὸς* Schowii codd. AC; *ἐκδὴν ἣν αὐτὸς* codex E.; Grotius *ἐσθλὴν δ' εἰν αὐτῷ*; *δεινὴν εἰς αὐτοῦ* B m. sec.; Valckenarius *ἤνδανεν ἣν αὐτός*. Ego cod. B correctionem retinui subdubitanter. 36. Legebatur *αὖτις*. Libri aliquot *αὐθις*. 37. Ante Brunckium *πιεσθῇ*.

ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ·
καὶ καλὸς, μορφὴν οὐ χαρίεσσαν ἔχων·
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι, πάντως χρήματα πολλὰ * δοκεῖ.
Σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται
ἐν νηυσὶν χρήζων οἶκαδε κέρδος ἄγειν,
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτὸν
λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον·
ἄλλος Ὀλυμπιάδων Μουσέων * πάρα δῶρα διδαχθεὶς
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὔκ ἄν τις λύσαιτ' ἤπια φάρμακα δούς,
τὸν δὲ κακαῖς νούσοισι κακούμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν·
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
Πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔρμασιν οὐδέ τις οἶδε·

---

40. Codd. tres Schowii καὶ κάλλος. 42. πάντως Gesnerus: libri πάντων. Ibidem πλεῖστα codd. duo Schowii, sed in altero suprascr. πολλά. Ibidem libri δοκεῖ perinepte, puto. Desidero ποθεῖ, νοεῖ. Vide sequentia. 51. διδάχθη Grotius, Brunckius. Pro πάρα voce ἄρα rescripserim. Vix recte dicas διδαχθῆναι δῶρα παρὰ Μουσῶν. 55. συνομαρτήσασι Voss., συνομαρτήσουσι Brunckius. 57. Salmasius, Grotius, Brunckius οὔθ' οἳ Παιῶνος. De Paeone vide Muelleri Dorr. I, 297. 61. κακούμενον Lobeckius Ajac. p. 218. Libri κυκώμενον. De magnetismo animali admonet Brunckius. 65—70. exstant in Theognideis 585 sqq.

ἢ μέλλει σχήσειν πρήγματος ἀρχομένου,
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα τίθησι
συντυχίην ἀγαθὴν, ἔκλυσιν ἀφροσύνης·
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν * ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι·
ἄτη δ' ἐξ αὐτῶν ἀναιρέεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τισόμενην, ἄλλοτε ἄλλος ἔχει.

12.

Ὄλβιος ᾧ παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι
καὶ κύνες ἀγρευταὶ καὶ ξένος ἀλλοδαπός.

---

66. Theognis ποῖ σχήσειν μέλλει; apud Stobaeum Voss. et Gesneri margo τι μέλλει σχ. Confer Arist. Rann. 188. Ibidem χρήματος vulgo: ego πρήγματος dedi ex Theognide. 67. εὖ ἔρδειν. Theognis εὐδοκιμεῖν. προνοήσας Theognis et Voss. Arsen. B m. sec. Reliqui προορήσας. 69. καλῶς ἔρδοντι vulgo: κακῶς Gesnerus in Marg. et duo codd. Schowii, in quorum tamen altero καλῶς suprascriptum. Opponitur ὁ εὖ ἔρδειν πειρώμενος τῷ καλῶς ἔρδοντι. δίδωσι Stobaeus; τίθησιν Theognis. 71 sqq. exstant in Theognideis 227 sqq. pluribus locis mutati. Πεφασμένον i. e. φανερόν, Lysias in Theomnest. 117. ex lege Solonis. 73. διπλασίως Stobaeus. Doederlinus Lectt. Varr. Hebdom. Erlangae 1836. edita Cap. I. proponit κορέσειεν ἁπάντως vel κορέσει ἕνα πάντως; Mihi ἅπαντα scribendum videtur, h. e. plane. 76. Vulgo ἄλλοτέ τ' ἄλλος ἔχει: ἄλλοτ' ἂν ἄλλος ἔχοι Schowii codex unus, plures ἔχοι; Brunckius ἄλλοτέ κ' ἄλλος. Recepi Theognidis scripturam: Doederlinus ἄλλο τότ' ἄλλος ἔχει. Recte Schaeferus: »Solennis formula, in qua, ut in aliis, hiatus Graecorum auribus videtur placuisse.« Exempla apud Lobeck. Parall. I, 56 sq.; aliter olim judicabat Hermannus Orph. 732. Locum sic intellige: Ex habendi cupidine nascitur ἄτη: quam (Ἄτην) quum miserit Jupiter, alius alio tempore habet ἄτην. More Graecorum poetarum personam mythicam cum re ipsa miscet; v. Intpp. Plat. Symp. 178, B. 196, D. Sententiam similem habes v. 25 sqq. Archiloch. I, 7. Gaisf. ἄλλοτε δ' ἄλλος ἔχει τόδε, int. κακόν.

Fr. 12. Plato Lyside 212, E. Ψεύδεσθ' ὁ ποιητὴς ὃς ἔφη·

13.

Οὐδὲ μάκαρς οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

14.

Ἴσόν τοι πλουτεῦσιν ὅτῳ πολὺς ἄργυρός ἐστι
καὶ χρυσὸς καὶ γῆς πυροφόρου πεδία
ἵπποι θ' ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστι,
γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,
παιδός τ' ἠδὲ γυναικὸς, ἐπὴν κεν ταῦτ' ἀφίκηται,
ἥβη· σὺν δ' ὥρη γίγνεται ἁρμοδία·

Ὄλβιος κτλ. Soloni tribuit Hermias in Phaedr. 78. Ast. Καὶ ἐν τοῖς ποιήμασιν ὡς καλοῦ τοῦ ἐρᾶν μνημονεύει (Solon) λέγων· Ὄλβιοι ὦ (sic codex Hermiae). Legitur distichon in Theognideis 1253., ubi est *θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί*. Ceterum quod Solonis nomen reticuit Plato, jocatur. Nam lepide in ipsum torta sunt quae ἐν Ἐλεγείαις dixerat Solon: *Πολλὰ ψεύδονται ἀοιδοί*, v. Scholl. Plat. 465. Bekker. Et hinc αἱ in v. ψεύδεθ' contra pedestris orationis consuetudinem elisum: quo de secus statuit Buttmannus Gr. Max. II, 393.

Fr. 13. Stobaeus Floril. XCVIII, 24. Libri μάκαρ, v. Welcker. Alcman. p. 68. De sententia v. Homeri Il. *P*, 446. Theogn. 167. Ceterum vulgo πόνηροι: v. Trypho Ammonii s. v.

Fr. 14. Plutarchus Solon. II. *Πλοῦτον δ' οὐκ ἐθαύμαζεν, ἀλλὰ καὶ φησιν ὁμοίως πλουτεῖν, ὅτῳ* κτλ. Exstant inter Theognidea 719 sqq. et hinc Stobaeus Floril. XCVII, 7. Vide Hermann. Viger. 924. 3. μόνα ταῦτα Plutarchus: τὰ δέοντα Theognis. 4. πλευρῇ vulgo apud Plutarchum. Sententiam mutatus est Horatius Epp. I, 12, 5. 5. Grotius, Brunckius παῖδές τ' ἠδὲ γυναῖκες. Librorum scripturam retinens Hermannus interpunctione post v. παθεῖν sublata explicat: *si puero vel muliere frui liceat*. Et παιδός τ' ἠδὲ γυναικὸς jam Sylburgius ad v. παθεῖν rettulit, Welckerus a v. πλευραῖς suspendit. Ibidem ἐπὴν καὶ ταῦτ' ἀφίκηται Plutarchus: ὅταν κεν τῶν ἀφίκηται Theognis, ubi vulgo ὅταν δέ κε τῶν; Stobaeus ὅταν δέ κε τῶνδ' ἀφίκηται, ubi B ἐφίκηται: ἐπήν κεν Hermannus de ἄν part. 190. 6. ἥβη· σὺν δ' ὥρη γίγνεται ἁρμοδία. Sic Plutarchus, nisi quod σὺν δ' ὥρῃ γίγνεται ἁρμονία vulgo; codex Venetus Walzii ἥβης; Schaeferus σὺν δ' ὥρη γίγνεται ἁρμοδία; Hermannus σὺν δ' ἥβῃ γίγνεται ἁρμόδια; σὺν δ' ἥβη γίγνεται

ταῦτ' ἄφενος θνητοῖσι· τὰ γὰρ περιώσια πάντα
χρήματ' ἔχων οὐδεὶς ἔρχεται εἰς Ἀΐδεω·
οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι οὐδὲ βαρείας
νούσους οὐδὲ πακὸν γῆρας ἐπερχόμενον.

15.

Πολλοὶ γὰρ πλουτεῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

16.

Γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
μέτρον, ὅ δὴ πάντων πείρατα μοῦνον ἔχει.

17.

Πάντῃ δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.

ἁρμόδιος Theognis vulgo, sed codex Mutinensis ἁρμοδία, ut Stobaeus, cujus codd. A B ἁρμονία. Nostram scripturam sic explica: *Aeque divites sunt, qui opibus pollent atque ii quibus ea sola sunt, unde ventri volupe fit et, ubi illa quoque veniant* (tecte significat rem minus honestam), *flos puerorum mulierumque, simulque juventus fiat idonea.*

Fr. 15. Plutarchus Solone III. Ὅτι δ' αὐτὸν ἐν τῇ τῶν πενήτων μερίδι μᾶλλον ἢ τῇ τῶν πλουσίων ἔταττε, δῆλόν ἐστιν ἐκ τούτων· Πολλοὶ γὰρ κτλ. Sunt inter Theognidea 315 sqq Confer Plutarch. Morall. II, 78, C. 92, E. 472, D. 1. Πολλοί τοι Theognis. 2. τούτοις Theognis. 3. τὸ μέν· ἀρετή.

Fr. 16. Clemens Alex. Stromm. V, 694. Potter. Σοφώτατα γέγραπται τῷ Σόλωνι ταῦτα περὶ θεοῦ· Γνωμοσ. κτλ. Cfr. fr. 17.

Fr. 17. Clemens Alex. Stromm. V, 727. Potter. Ἡσίοδος· Μάντις δ' οὐδεὶς ἐστιν ἐπιχθονίων ἀνθρώπων, Ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο. Εἰκότως ἄρα Σόλων ὁ Ἀθηναῖος ἐν ταῖς ἐλεγείαις καὶ αὐτὸς κατακολουθήσας Ἡσιόδῳ· Πάντῃ κτλ.

18.

Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.

19.

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

V. Πρὸς Μίμνερμον.

20.

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο
μηδὲ μέγαιρ' ὅτι σεῦ λῷον ἐπεφρασάμην,
καὶ μεταποίησον, Λιγυαστάδη, ὧδε δ' ἄειδε·
Ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.

21.

Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

Fr. 18. Plutarchus Solone XXXI. Morall. II, 155, F. 751, E. Hermias in Phaedr. 78. Ast. Senex haec scripsit. Hermias Ἔ. τὰ Κυπρ.

Fr. 19. Plutarchus Solone XXXI. aliique.

V. Fr. 20. Diogenes Laert. I, 60. *Φασὶ δ' αὐτὸν καὶ Μιμνέρμου γράψαντος·*
Αἴ γὰρ ἄτερ νουσέων τε καὶ ἀργαλέων μελεδώνων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου,
ἐπιτιμῶντα αὐτῷ εἰπεῖν·
Ἀλλ' εἴ μοι κτλ. 1. Hermann. Viger. 924. 2. Vulgo ὅτι σ' εὖ τοῖον ἐπεφρασάμην. Emendavit Florens Christianus, qui λῴϊον ἐφρ. dedit. 3. Λιγυαστάδη Bergkius in Zimmermanni Diar. Philol. 1834, 53. p. 427. Suidas v. *Μίμνερμος· Ἐκαλεῖτο δὲ καὶ Λιγυαστάδης διὰ τὸ ἐμμελὲς καὶ ἡδύ.* Libri ἀγυιὰς ταδί, ὄγδοα ἐς ταδί.

Fr. 21. Plutarchus Comp. Solon. et Poplic. I. *Τοῖς περὶ Μίμνερμον ἀντειπὼν περὶ χρόνου ζωῆς ἐπιπεφώνηκε· Μηδέ μοι κτλ.* Stobaeus Floril. CXXII, 3. Bergkius Mimnermo vindicat in Theognideis 1069. 70.
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
κλαίουσ' οὐδ' ἤβης ἄνθος ἀπολλύμενον.
Confer Ennium apud Cic. Tusc. Dispp. I, 49, 117.

VI. *Πρὸς Κριτίαν.*

22.

Εἰπέμεναι Κριτίῃ ξανθότριχι πατρὸς ἀκούειν
οὐ γὰρ ἁμαρτινόῳ πείσεται ἡγεμόνι.

23.

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης ἐκφαίνει σήματα γιγνομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἐπὶ γυίων
λαχνοῦται, χροιᾶς ἄνθος ἀμειβομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος

VI. *Πρὸς Κριτίαν.* **Fr. 22. Aristoteles Rhet. I, 15.** *Κλέομαν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο, λέγων ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἂν ποτε ἐποίησε Σόλων· Εἰπεῖν μοι Κριτίᾳ πυῤῥότριχι πατρὸς ἀκούειν.* **Plato Charmid. 157, E.** *Ἡ πατρὼα ὑμῖν οἰκία ἡ Κριτίου τοῦ Δρωπίδου καὶ ὑπὸ Ἀνακρέοντος καὶ ὑπὸ Σόλωνος καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ.* **Integrum distichon sic ut editur affert Scholiasta Platonis 424. Bekker.**

Fr. 23. Philo Iudaeus I, 25. Clemens Alex. Stromm. VI, 814. *Τὰς τῶν ἡλικιῶν μεταβολὰς κατὰ ἑβδομάδα γίνεσθαι Σόλωνος αἱ ἐλεγεῖαι δηλοῦσιν ὧδέ πως· Παῖς μὲν κτλ.,* **cll. Censorino Die Nat. 14. Ambros. Epp. VI, 39. Suspectarunt hos versus Porsonus in Tracts and miscell. crit. 207. Franckius Callin. 57. Soloni tribuit Valckenarius de Aristobulo Jud. 103. 198. Confer Nitzschium ad Odyss. I, 64. Respicere putatur Aristoteles Polit. VII, 14.** *Ἡ τῆς διανοίας ἀκμὴ ἐστιν ἐν τοῖς πλείστοις ἥνπερ τῶν ποιητῶν τινες εἰρήκασιν οἱ μετροῦντες ταῖς ἑβδομάσι τὴν ἡλικίαν, περὶ τὸν χρόνον τὸν τῶν πεντήκοντα ἐτῶν.* **1. *ἕρκος ὀδόντων* aliter Homerus intelligit. 2. *ἐκβάλλει*. Herod. VI, 107. 3. *σπέρματα* Clemens: quidam *γενομένης*, *γειναμένης*. 5. »Subaudi *ἑβδομάδι*, quod latet in praegresso numerali *ἑπτά*.« Schaeferus. 6. Lucret. V, 886 sq.**

ἰσχὺν, ἣν τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριυν ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν·
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
ὀκτώ τ' ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν σῶμά τε καὶ δύναμις·
τῇ δεκάτῃ δ' ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

VII. Τετράμετροι πρὸς Φῶκον.

24.

Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος τε καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδοῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

25.

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
Λοξὸν ὀφθαλμοῖς ὁρῶσιν πάντες ὥστε δήϊον.

---

8. Philo οἵ τ' ἄνδρες. 9. Hesiod. Ἔργ. 693 sqq. 12. Clemens ἐςιδεῖν ἔργα μάταια θέλει. 15. μετριώτερα Clemens. 16. γλῶσσά τε καὶ σοφίη Philo; σώματι καὶ σοφίῃ Brunckius; σῶμά τε καὶ σοφίη Schaeferus malit. 17. Philo τῇ δεκάτῃ δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο.

VII. Τετράμετροι πρὸς Φῶκον. Fr. 24. Plutarchus Solon. XIV. Πρὸς Φῶκον ἐν τοῖς ποιήμασι γράφων φησί· Εἰ δὲ κτλ. Ὅθεν εὔδηλον, ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν. 3. μιάνας καὶ καταισχύνας. Vide Dissen. Pind. Nem. III, 16.

Fr. 25. Plutarchus Solon. XVI. Ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, εἰς Χαῦνα κτλ. 2. Reiskius δήϊοι.

26.

Οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
*περιβαλὼν δ' ἄγραν * ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα*
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
καὶ τυραννεύσας Ἀθηνέων μοῦνον ἡμέραν μίαν
ἀσκὸς ὕστερον δεδάρθαι καπιτετρῖφθαι γένος.

27.

Ἃ μὲν ἄελπτα σὺν θεοῖσιν ἤνυσ', ἄλλα δ' οὐ μάτην ἔρδον.

27, b.

Plutarchus Sol. XV. *Οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα, τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν, οὐδὲ μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις οὐδὲ πρὸς ἡδονὴν τῶν ἐλομένων ἔθετο τοὺς νόμους· ἀλλ' ἢ μὲν ἄριστον (ἀριστὸν* **Schaeferus**) *ἦν, οὐκ ἐπήγαγεν ἰατρείαν οὐδὲ καινοτομίαν φοβηθείς, μὴ*

Fr. 26. Plutarchus Solon. XIV. *Ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως· Οὐκ ἔφυ κτλ. Ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας.* 3. *ἀασθεὶς* **Lobeckius Ajac. p. 219.** *ἀτυσθεὶς* **Reiskius;** *ἀγρευτὴς* **Huetius, Coraës, Schaeferus, qui addit:** »*ἀγασθεὶς* **vide ne sit interpretandum** *φθονηθεὶς, νεμεσηθεὶς, τῇ τοῦ θείου βασκανίᾳ βλαφθείς.*« *ἐπέσπασεν* **dedi ex cod. Rodulfi: vulgo** *ἀνέσπασεν* **ex conjectura Xylandri. Libri** *ἔσπασε, ἔπαυσε, ἔχασε.* 4. **Libri** *ἁμαρτῇ, ἁμαρτεῖ, ἁμαρτῶν, ἁμαρτών.* 5. **Alii** *ἤθελεν.* 6. **Alii** *τυραννήσας, τυραννίσας.* 7. *Ἀσκὸς* **Musurus. Libri fere** *αὐτός*, **ut videtur. Vide Arist. Nubb. 442. Winckelmann. Plat. Euthyd. 285, D.**

Fr. 27. Ael. Aristides *περὶ τοῦ παραφθέγμ.* **II, 397. (536. Dindorf.)** *Ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν εἰς αὐτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· Ἃ μὲν κτλ. Καὶ ταῦτα μὲν ἐστὶν ἐν τετραμέτροις· ἐν δὲ τοῖς ἰάμβοις· Συμμαρτυρολη κτλ.*, v. fr. 28. 1. **Vulgo** *ἅμα γάρ*: *ἃ μὲν γὰρ ΓΘ* **Junt.**; *ἃ μὲν* **Gaisford. ad Herodot. Vol. II, 722. v. Matth. Gr. 289, not. 7.** *ἄλλα δ' οὐ μάτην* **Gaisfordus. Libri** *ἅμα δ' οὐ μάτην.*

Συγχέας ἁπαντάπασι καὶ ταράξας τὴν πόλιν ἀσθενέστερος γέγηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον.

VIII. Ἴαμβοι.

28.

Συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ Κρόνου
μήτηρ, μεγίστη δαιμόνων Ὀλυμπίων,
ἄριστα, Ἰῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἰέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας ἤδη δεσπότας τρομευμένους

Fr. 27, b. Trochaico metro illigavit Bekkerus. Ἀπαντάπασι Schaeferus: vulgo παντάπασι. Solonis erat *γένωμαι* vel *γενοίμην*.

Fr. 28. Ael. Aristides l. c. cll. Plutarcho Solon. XV. *Οἱ πλεῖστοι πάντων ὁμοῦ φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν καὶ τούτοις συνάδει μᾶλλον τὰ ποιήματα. Σεμνύνεται γὰρ Σόλων ἐν τούτοις, ὅτι τῆς τε προϋποκειμένης γῆς Ὅρους ἀνεῖλε κτλ.* 1. Libri χρόνου. Correxit Claviger. Reiskius ἐν μήκει χρόνου conjectavit. 2. Lobeck. Ajac. p. 219. »θεῶν Ὀλ. μεγίστη. Ultimum, quod metro adversatur, fortasse interpretamentum est vocis πρέσβειρα.« Nimirum Nicolaus Bachius ἀρίστη, γῆ μέλαινα. 4. Harpocration 139, 20. Bekker. *Ὅρος· οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, ἃ ἐδήλου ὅτι ὑπόκεινται δανειστῇ.* Plerique libri Plutarchi παντα χῇ, Walzii codex q πολλαχοῦ. 5. δουλεύουσα Plutarchus et Aristidis codd. *ΓΘ*: vulgo δουλεύσασα. 9. χρησμὸν λέγοντας h. e. qui necessitate coacti exsules plebeculae mercede vaticinabantur. Οὐκέτ' Brunckius: libri οὐκ. 11. δουλίην Brunckius: vulgo δουλείην. Plutarchus δουλοσύνην. 12. ἤδη libri: ἠδὲ Dindorfius. Sed aliud latere videtur: nam *Γ* δεσποτῶν.

ἐλευθέρους ἔθηκα· ταῦτα μὲν κράτει
ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας
ἔριξα καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίους τῷ κακῷ τε κἀγαθῷ
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβὼν
κακοφραδής τε καὶ φιλοκτήμων ἀνὴρ
οὔτ' ἂν κατέσχε θυμὸν οὔτ' ἐπαύσατο,
πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.

29.

εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν ἀτέροις δρᾶσαι * διὰ
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' * ἀρχὴν πάντοθεν κυκλεύμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην κύων.

30.

Ἀρχῶν ἄκουε καὶ δικαίως κἀδίκως.

---

14. Affert Plutarchus Solon. XV. 16. ὁμοίους ΓΘ: vulgo ὁμοίως. 20. οὐκ ἂν κατέσχε δῆμον Aristides, qui reliqua omittit, quae ex Plutarcho addita sunt Solon. XVI. Καίτοι φησίν, ὡς, εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν, Οὔτ' ἂν κτλ. Plutarchus quoque δῆμον. Correxit Canterus, Reiskius. Firmat Aristides addens: ἐξελέγξεις δέ με ἡνίκ' ἂν αὐτὸς κτησάμενος τὴν αὐτὴν δύναμιν τῶν λόγων — εἶτα μετριώτερον ἐπὶ σαυτῷ φρονῶν ὄψῃ. 21. Schaeferus: »Coraës jungit πῖαρ γάλα, pingue lac. Brunckius habet pro substantivo, quippe sic interpungens: πρὶν ἂν ταράξας, πῖαρ ἐξέλῃ, γάλα. Cujus ut interpunctionem non probo, ita constructionem amplector.« Vide Buttm. Lexil. II, 47 sqq.

Fr. 29. Aristides l. c. Εἶτα τί φησὶν ὁ Σόλων; Εἰ γὰρ κτλ. 3. θρᾶσαι κακά Valckenarius ad Herod. VI, 83. dubitanter; Schaeferus βίᾳ (βίῃ). 4. Libri ἐχειρώθη. Correxit Valckenarius. 5. ἀρχὴν libri: »plane, penitus, omnino« Reiskius. Lobeckius Ajac. p. 219. ὀργῇ et κυκλεύμενος. Libri κυκεύμενος.

Fr. 30. Diogenianus Provv. II, 99. Apostol. IV, 53. Ἐκ

IX. Σκόλιον.

31.

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα
μὴ κρυπτὸν ἔχων ἔγχος κραδίῃ
φαιδρῷ προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελαίνης φρενὸς γεγωνῇ.

V. Phocylidis Milesii.

Olymp. LIX.

Suidas: *Φωκυλίδης, Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος· ἦν δὲ ἑκάτερος μετὰ χμζ' ἔτη τῶν Τρωϊκῶν, Ὀλυμπιάδι γεγονότες νθ'. Ἔγραψεν ἔπη καὶ ἐλεγείας, παραινέσεις ἤτοι γνώμας, ἅστινας Κεφάλαια ἐπιγράφουσιν· εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.*

1.

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ·
Πάντες, πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

τῶν Σόλωνος ἐλεγείων (ἰάμβων vel ὑποθηκῶν ludit Gaisfordus) παραινετική. Locum non intellexisse videntur Gaisfordus Ἄρχων ἄ. καὶ δίκαια κἄδικα, Bacchius Ἄρχων ἄ. καὶ δικαίῳ κἀδίκῳ tentantes. Scripsi Ἀρχῶν. Magistratibus obediendum esse Solon praecepit.

IX. Σκόλιον. Fr. 31. Diogenes Laert. I, 61. Τῶν ᾀδομένων αὐτοῦ ἐστι τάδε· Πεφυλαγμένος κτλ. Vide Ilgenium ad Scoll. XXXIX. 2. Libri ἔγχος ἔχων: transposuit Ilgenius. 3. πρός σ' ἐνέπῃ Ilgenius.

V. Phocylidis Milesii Fr. 1. Strabo X, 487. Διεβέβληντο γὰρ ὡς κακοήθεις οἱ Λέριοι· ἔστι δὲ τῶν Σποράδων Λερία. Cfr. Eustath. Dionys. Perieg. 530. Demodocus Lerius Anth. Pal. XII, 27. Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί· οὐχ ὁ μέν, ὃς δ' οὔ· Πάντες πλὴν Προκλέους· καὶ Προκλέης Χίιος. De illo ὁ μέν, ὃς δέ v. Matth. Gr. §. 289, 7.

2.

Χρηΐζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

3.

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνὸς, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης·
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς οὔτ' ἄρ κακὴ οὐδὲ μὲν ἐσθλή·
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

4.

Καὶ τόδε Φωκυλίδεω· τί πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις οὔτ' ἐνὶ βουλῇ;

5.

Καὶ τόδε Φωκυλίδεω· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινεύσης.

Fr. 2. Stobaeus Floril. LVI, 6. De cornu Amaltheae v. Zenob. Provv. II, 48.

Fr. 3. Stobaeus Floril. LXXIII, 60. Cfr. Simonidis Amorgini carmen de Mulieribus. 8. *γάμον ἱμερόεντα* Brunckius.

Fr. 4. Stobaeus Floril. LXXXVII, 2. Libri *Φωκυλίδου*. Brunckius *τί πλέον — βουλῇ;* ex codice, ut ait. Et ita Wakefieldius correxit. »Vulgata *τὸ πλέον — βουλῇ·* ironice intelligenda est.« Boissonadius.

Fr. 5. Dio Chrysostomus XXXVI, 80. (440.) *Ἡ τοῦ Φωκυλίδου ποίησίς ἐστιν οὐ τῶν μακράν τινα καὶ συνεχῆ ποίησιν εἰρόντων, ὥσπερ ὁ ὑμέτερος μίαν ἔξῆς διέξεισι μάχην ἐν πλείοσιν ἢ πεντακισχιλίοις ἔπεσιν· ἀλλὰ κατὰ δύο καὶ τρία ἐπη αὐτῷ καὶ ἀρχὴν ἡ ποίησις καὶ πέρας λαμβάνει, ὥστε καὶ προσκέθησε τὸ ὄνομα αὐτοῦ καθ' ἕκαστον διανόημα, ἅτε σπουδαῖον καὶ πολλοῦ ἄξιον ἡγούμενος· οὐχ ὥσπερ Ὅμηρος οὐθαμοῦ τῆς ποιήσεως ὠνόμασεν αὐτόν· ἢ οὐ δοκεῖ σοι εἰκότως προσθεῖναι Φωκυλίδης τῇ τοιαύτῃ γνώμῃ καὶ ἀποφάσει; Καὶ τόδε κτλ.* 2. *κρέσσων* ed. Venet. et codex Regius. Vulgo *κρείσσων*. Postea *ἀφραινούσης* legebatur.

6.

Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ
φροντίζειν ἄσσ' ἂν περιγογγύζωσι πολῖται.

7.

Χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισσομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

8.

Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.

9.

Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδάσκεμεν ἔργα.

10.

Πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.

11.

Ἀλλ' ἄρα δαίμονές εἰσιν ἐπ' ἀνδράσιν ἄλλοτε ἄλλοι,
οἱ μὲν ἐπερχομένου κακὸν ἀνέρος ἐκλύσασθαι.

12.

Φεῦγε χρήστης κακοῦ ἔμμεναι ἀνδρός,
μὴ τί σ' ἀνιήσειε διδούς, παρὰ καιρὸν ἀπαυτέων.

Fr. 6. Phrynichus Ecl. 358. Lobeck. *Γογγυσμὸς καὶ γογγύζειν: ταῦτα ἀδόκιμα μὲν οὐκ ἔστιν, ἰακὰ δέ. Φωκυλίδην γὰρ οἶδα κεχρημένον αὐτῷ τὸν Μιλήσιον, ἄνδρα παλαιὸν σφόδρα· Καὶ κτλ.*

Fr. 7. Athenaeus X, 428, B.

Fr. 8. Aristoteles Polit. IV, 8. *Καλῶς εὔξατο Φωκυλίδης· Πολλὰ κτλ.* Cfr. Theognid. 335.

Fr. 9. Plutarchus Morall. II, 3, F.

Fr. 10. Plutarchus Morall. II, 47, E.

Fr. 11. Clemens Alex. Stromm. V, 725. Potter. *Φωκυλίδης τοὺς ἀγγέλους δαίμονας καλῶν τοὺς μὲν εἶναι ἀγαθοὺς αὐτῶν, τοὺς δὲ φαύλους διὰ τούτων παρίστησιν, Ἀλλ' ἄρα κτλ.*

Fr. 12. Scholl. Aristoph. Nubb. 241. *Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως· χρήστης κ. ἔ. ἀ. φεῦγε, μὴ*

VI. Xenophanis Colophonii.

Xenophanes Colophonius Dexini vel Orthomenis filius quo tempore vixerit dissentiunt auctores veteres. Clemens Alex. Stromm. I, 353. Potter. *Τῆς Ἐλεατικῆς ἀγωγῆς Ξενοφάνης ὁ Κολοφώνιος κατάρχει, ὃν φησι Τίμαιος κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι; Ἀπολλόδωρος δὲ κατὰ τὴν τεσσαρακοστὴν Ὀλυμπιάδα γενόμενον παρατετακέναι μέχρι τῶν [Δαρείου τε καὶ] Κύρου χρόνων.* Apollodori rationem sequitur Sextus Empiricus adv. Math. I, 257. neque aliter censuisse Sotion videtur, qui apud Diogenem Laert. IX, 18. Anaximandri aequalem vocat. Vel sic tamen a Timaei partibus standum videtur, v. Welckeri Cycl. Epic. p. 401 sq. Hieronymus Chronico sub Olymp. LX, adscripsit: *Simonides Lyricus et Phocylides et Xenophanes Physicus, scriptor tragoediarum, clari habentur.* Congruit Diogenes, qui Xenophanem *ἀκμάσαι κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα* scribit. Quam Olympiadem ut figerent impulisse videtur ipsius Xenophanis locus, quo Harpagi in Ionicas civitates expeditionem perstrinxit fr. XVII. Karsten.

Πηλίκος ἦσθ' ὅθ' ὁ Μῆδος ἀφίκετο;

quae impressio Olymp. LIX, 1. facta est. Ad eam aetatem spectare videtur fr. Elegiarum VII. nostrae editionis, quo quum senex nonaginta duorum annorum testetur ipse, sexaginta septem jam annos ipsius *φροντίδα* Graeciam pervagatam esse seque *ea aetate* viginti quinque annorum fuisse: illud videtur tempus significasse, quo *ἐξέπεσε τῆς πατρίδος* — sic enim testatur Diogenes — cum aliis Ionicarum urbium civibus Graeciamque Europaeam, Siciliam et Magnam Graeciam adiit. Theologumena

---

σ' ἀν. κτλ. Sic legebatur ante Ernestium et Reizium. *Φεῦγε* Ernestius delebat: Hermanno fortasse Scholiastae verbum est.

Arithm. p. 40. *Ἀπὸ τῶν Τρωϊκῶν μέχρι Ξενοφάνους τοῦ φυσικοῦ καὶ τῶν Ἀναχρέοντός τε καὶ Πολυκράτους χρόνων καὶ τῆς ὑπὸ Ἅρπάγου τοῦ Μήδου Ἰώνων πολιορκίας καὶ ἀναστάσεως, ἣν Φωκαεῖς φυγόντες Μασσαλίαν ᾤκισαν,* haec igitur cum Diogenis et Hieronymi notationibus, qui Olymp. LX. floruisse scribunt philosophum, facere videntur et ipsa. Quibus rationibus probatis natum habebimus Olymp. LIII, 4. — a qua aetate non multum abludit notatio Hieronymi sub Olymp. LVI. *Xenophanes Colophonius clarus habetur* —, patria ejectum Olymp. LIX, 1. annos natum viginti quinque, superstitem Olymp. LXXVI. annorum nonaginta duorum, ut cum Hierone et Simonide Ceo, quem *κίμβικα* appellasse ferunt Scholl. Arist. Pac. 696., et Epicharmo versari potuerit.

Scripsit Xenophanes praeter Elegias, quarum potiores reliquias apposuimus, teste Diogene IX, 18. versibus heroicis *κτίσιν Κολοφῶνος καὶ τὸν εἰς Ἐλέαν ἀποικισμόν, ἔπη διχίλια*; libros *περὶ φύσεως*. Idem quum *καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα*, composuisse narratur, *ἴαμβοι* illi non sejungendi videntur a Parodiis et Sillis, quos illi plurimi scriptores adscribunt, heroico metro conscriptos. *Ἴαμβοι* enim interdum dicta sunt *carmina probrosa*, etiamsi metrum haberent non iambicum, v. Censuram nostram libri Karsteniani in Zimmermanni Annall. Philoll. 1834, 92. p. 739 sqq.

1.

Νῦν γὰρ δὴ ζάπεδον καθαρὸν καὶ χεῖρες ἁπάντων

Xenophanis Colophonii Fr. 1. Athenaeus XII, 462, C. *Ὁρῶν οὖν ὑμῶν καὶ αὐτὸς τὸ συμπόσιον, κατὰ τὸν Κολοφώνιον Ξενοφάνη, πλῆρές ὂν πάσης θυμηδίας, Νῦν γὰρ δὴ κτλ.* Tractavit G. Hermannus in Zimmermanni Diar. Philoll. 1837, 39. p. 321 sqq. 1. *ζάπεδον* codices: *μέγα ἔδαφος* explicat Hesychius: *δάπεδον* Hermannus.

καὶ κύλικες· πλεκτοὺς δ' ἀμφιτιθεῖ στεφάνους,
ἄλλος δ' εὐῶδες μύρον ἐν φιάλῃ παρατείνει·
κρητὴρ δ' ἕστηκεν μεστὸς εὐφροσύνης·
* ἄλλος δ' οἶνος * * ἐστὶν ἕτοιμος, ὃς οὔπω
μείλιχος ἐν κεράμοις ἄνθεος ὀζόμενος·
ἐν δὲ μέσοις ἁγνὴν ὀδμὴν λιβανωτὸς ἵησι·
ψυχρὸν δ' ἔστιν ὕδωρ καὶ γλυκὺ καὶ καθαρόν·
πάρκεινται δ' ἄρτοι ξανθοὶ γεραρή τε τράπεζα
τυροῦ καὶ μέλιτος πίονος ἀχθομένη·
βωμὸς δ' ἄνθεσιν ἀν τὸ μέσον πάντη πεπύκασται,
μολπὴ δ' ἀμφὶς ἔχει δώματα καὶ θαλίη.
Χρὴ δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας
εὐφήμοις μύθοις καὶ καθαροῖσι λόγοις
σπείσαντάς τε καὶ εὐξαμένους τὰ δίκαια δύνασθαι.

2, Libri ἀμφιτιθείς: correxit Dindorfius. Ex, sqq. repete ἄλλος μέν; Pind. Nem. VIII, 37. χρυσὸν εὔχονται, πεδίον δ' ἔτεροι ἀπέραντον, Matth. Gr. Gr. §. 288, not. 4. Hermannus ἀμφέθεθ' εἷς. 4. Libri κρατήρ. 5. »ἄλλος ABCP. ἄλλῳ VL. οἶνος ἐστὶν ἕτοιμος BCP et ut conjicio, A. οἶνος ἕτοιμος VL. Indicavi lacunam. οὔπω BP: οὔποτε VL, quod Musuro deberi videtur. φησὶ προδώσειν post οὔποτε add. VL. om. BP. et, nisi fallor, A. Videtur hoc Musuri supplementum esse lacunam, quae ille ne perspexerat quidem quo in loco esset, utcunque explentis.« Dindorfius. Hermanno ἄλλος δ' errore veteris librarii ex secundi distichi hexametro repetitum videtur: verissime. Scripsit autem: Οἶνος δ' ἐστὶν ἕτοιμος, ὃς οὔπω πυθμένι γείτων, cll. Hesiodio praecepto O. et D, 366. Quum autem codex A φησὶ προδώσειν habere videatur, Xenophanes fortasse perleganter et non sine lepore scripsit: Οἶνος δ' ἐστὶν ἕτοιμος, ὃς οὔποτε φησὶ προδώσειν, h. e. *defecturum*. Vide ad Solonis Eleg. 2, 27. 6. Libri ὀσδόμενος. Medium verbi ὄζειν Ionibus fuisse proprium Hermannus monet: usurpavit Hippocrates. 8. ἔστιν Hermannus: vulgo ἐστίν. 11. Libri αὐτὸ μέσον: Karstenus ἀν τὸ μέσον, ut Theognid. 839. Τούτων δ' ἀν τὸ μέσον στρωφήσομαι. Alcaeus fr. II, 3. Ἄμμες δ' ἀν τὸ μέσσον ναῦ φορήμεθα σὺν μελαίνᾳ. Nec repugnat πάντη: ἀν τὸ μέσον ad βωμὸν in medio positum pertinet. Frid. Frankius αὐτόμεσος, Hermannus αὐτομάτοις conjecerunt. 14. λόγοις libri: νόοις Eichstadius, quod comprobavit Hermannus, afferens ex Aristoph. fr. 397. τοὺς νοῦς. Ego νόμοις suspicabar. 15 sq. Hermannus: εὐξαμένους· τὰ δίκαια δ' ὄνασθαι πρήσσον-

ἰσχὺν, ἥν τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν·
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
ὀκτώ τ' ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν σῶμά τε καὶ δύναμις·
τῇ δεκάτῃ δ' ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

VII. Τετράμετροι πρὸς Φῶκον.

24.

Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος τε καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,
οὐδὲν αἰδοῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

25.

Χαῦνα μὲν τότ' ἐφράσαντο, νῦν δέ μοι χολούμενοι
Δοξὸν ὀφθαλμοῖς ὁρῶσιν πάντες ὥστε δήϊον.

---

8. Philo οἵ τ' ἄνδρες. 9. Hesiod. Ἔργ. 693 sqq. 12. Clemens ἐσιδεῖν ἔργα μάταια θέλει. 15. μετριώτερα Clemens. 16. γλῶσσά τε καὶ σοφίη Philo; σώματι καὶ σοφίῃ Brunckius; σῶμά τε καὶ σοφίη Schaeferus malit. 17. Philo τῇ δεκάτῃ δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο.

VII. Τετράμετροι πρὸς Φῶκον. Fr. 24. Plutarchus Solon. XIV. Πρὸς Φῶκον ἐν τοῖς ποιήμασι γράφων φησί· Εἰ δὲ κτλ. Ὅθεν εὔθηλον, ὅτι καὶ πρὸ τῆς νομοθεσίας μεγάλην δόξαν εἶχεν. 3. μιάνας καὶ καταισχύνας. Vide Dissen. Pind. Nem. III, 16.

Fr. 25. Plutarchus Solon. XVI. Ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν, αὐτὸς εἴρηκε περὶ αὐτῶν, οἷς Χαῦνα κτλ. 2. Reiskius δήϊοι.

26.

Οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
*περιβαλὼν δ' ἄγραν * ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα*
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς·
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν
καὶ τυραννεύσας Ἀθηνέων μοῦνον ἡμέραν μίαν
ἀσκὸς ὕστερον δεδάρθαι καπιτετρῖφθαι γένος.

27.

Ἃ μὲν ἄελπτα σὺν θεοῖσιν ἤνυσ', ἄλλα δ' οὐ μάτην ἔρδον.

27, b.

Plutarchus Sol. XV. *Οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα, τὸν πρᾳότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν, οὐδὲ μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις οὐδὲ πρὸς ἡδονὴν τῶν ἑλομένων ἔθετο τοὺς νόμους· ἀλλ' ἢ μὲν ἄριστον (ἀρεστὸν* **Schaeferus**) *ἦν, οὐκ ἐπήγαγεν ἰατρείαν οὐδὲ καινοτομίαν φοβηθείς, μὴ*

Fr. 26. Plutarchus Solon. XIV. *Ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν οὕτως· Οὐκ ἔφυ κτλ. Ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας.* 3. ἀασθεὶς Lobeckius Ajac. p. 219. ἀτυσθεὶς Reiskius; ἀγρευτὴς Huetius, Coraës, Schaeferus, qui addit: »ἀγασθεὶς vide ne sit interpretandum φθονηθεὶς, νεμεσηθεὶς, τῇ τοῦ θείου βασκανίᾳ βλαφθείς.« ἐπέσπασεν dedi ex cod. Rodulfi: vulgo ἀνέσπασεν ex conjecturâ Xylandri. Libri ἔσπασε, ἔπαυσε, ἔχασε. 4. Libri ἁμαρτῇ, ἁμαρτεῖ, ἁμαρτῶν, ἁμαρτών. 5. Alii ἤθελεν. 6. Alii τυραννήσας, τυραννίσας. 7. Ἀσκὸς Musurus. Libri fere αὐτός, ut videtur. Vide Arist. Nubb. 442. Winckelmann. Plat. Euthyd. 285, D.

Fr. 27. Ael. Aristides *περὶ τοῦ παραφθέγμ.* II, 397. (536. Dindorf.) *Ὁ δὲ δὴ Σόλων καὶ βιβλίον ἐξεπίτηδες πεποίηκεν εἰς αὐτὸν καὶ τὴν ἑαυτοῦ πολιτείαν, ἐν ᾧ ἄλλα τε δὴ λέγει καὶ ταῦτα· Ἃ μὲν κτλ. Καὶ ταῦτα μὲν ἐστὶν ἐν τετραμέτροις· ἐν δὲ τοῖς ἰάμβοις· Συμμαρτυροίη κτλ.*, v. fr. 28. 1. Vulgo ἅμα γάρ: ἃ μὲν γὰρ *ΓΘ* Junt.; ἃ μὲν Gaisford. ad Herodot. Vol. II, 722. v. Matth. Gr. 289, not. 7. ἄλλα δ' οὐ μάτην Gaisfordus. Libri ἅμα δ' οὐ μάτην.

Συγχέας ἁπαντάπασι καὶ ταράξας τὴν πόλιν ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον.

VIII. Ἴαμβοι.

28.

Σύμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ Κρόνου
μήτηρ, μεγίστη δαιμόνων Ὀλυμπίων,
ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα.
πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἰέντας, ὡς ἂν πολλαχῇ πλανωμένους,
τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας ἤδη δεσπότας τρομευμένους

Fr. 27, b. Trochaico metro illigavit Bekkerus. Ἀπαντάπασι Schaeferus: vulgo παντάπασι. Solonis erat *γένωμαι* vel *γενοίμην*.

Fr. 28. Ael. Aristides l. c. cll. Plutarcho Solon. XV. *Οἱ πλεῖστοι πάντων ὁμοῦ φασι τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν καὶ τούτοις συνᾴδει μᾶλλον τὰ ποιήματα. Σεμνύνεται γὰρ Σόλων ἐν τούτοις, ὅτι τῆς τε προϋποκειμένης γῆς Ὅρους ἀνεῖλε κτλ.* 1. Libri χρόνου. Correxit Claviger. Reiskius ἐν μήκει χρόνου conjectavit. 2. Lobeck. Ajac. p. 219. »θεῶν Ὀλ. μεγίστη. Ultimum, quod metro adversatur, fortasse interpretamentum est vocis πρέσβειρα.« Nimirum Nicolaus Bachius ἀρίστη, γῆ μέλαινα. 4. Harpocration 139, 20. Bekker. Ὅρος· οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, ἃ ἐδήλου ὅτι ὑπόκεινται δανειστῇ. Plerique libri Plutarchi παντα χῇ, Walzii codex q πολλαχοῦ. 5. δουλεύουσα Plutarchus et Aristidis codd. *ΓΘ*: vulgo δουλεύσασα. 9. χρησμὸν λέγοντας h. e. qui necessitate coacti exsules plebeculae mercede vaticinabantur. Οὐκέτ' Brunckius: libri οὐκ. 11. δουλίην Brunckius: vulgo δουλείην. Plutarchus δουλοσύνην. 12. ἤδη libri: ἠδὲ Dindorfius. Sed aliud latere videtur: nam *Γ* δεσποτῶν.

ἐλευθέρους ἔθηκα· ταῦτα μὲν κράτει
ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας
ἔρεξα καὶ διῆλθον ὡς ὑπεσχόμην.
θεσμοὺς δ' ὁμοίους τῷ κακῷ τε κἀγαθῷ
εἰθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβὼν
κακοφραδής τε καὶ φιλοκτήμων ἀνὴρ
οὔτ' ἂν κατέσχε θυμὸν οὔτ' ἐπαύσατο,
πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.

29.

εἰ γὰρ ἤθελον
ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,
αὖθις δ' ἃ τοῖσιν ἄτεροις δρᾶσαι * διὰ
πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
τῶν οὕνεκ' * ἀρχὴν πάντοθεν κυκλεύμενος
ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην κύων.

30.

Ἀρχῶν ἄκουε καὶ δικαίως κἀδίκως.

---

14. Affert Plutarchus Solon. XV. 16. ὁμοίους ΓΘ: vulgo ὁμοίως. 20. οὐκ ἂν κατέσχε δῆμον Aristides, qui reliqua omittit, quae ex Plutarcho addita sunt Solon. XVI. Καίτοι φησίν, ὡς, εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν, Οὔτ' ἂν κτλ. Plutarchus quoque δῆμον. Correxit Canterus, Reiskius. Firmat Aristides addens: ἐξελέγξεις δέ με ἡνίκ' ἂν αὐτὸς κτησάμενος τὴν αὐτὴν δύναμιν τῶν λόγων — εἶτα μετριώτερον ἐπὶ σαυτῷ φρονῶν ὄφθῇς. 21. Schaeferus: »Coraës jungit πῖαρ γάλα, pingue lac. Brunckius habet pro substantivo, quippe sic interpungens: πρὶν ἂν ταράξας, πῖαρ ἐξέλῃ, γάλα. Cujus ut interpunctionem non probo, ita constructionem amplector.« Vide Butum. Lexil. II, 47 sqq.

Fr. 29. Aristides l. c. Εἶτα τί φησὶν ὁ Σόλων; Εἰ γὰρ κτλ. 3. θρᾶσαι κακά Valckenarius ad Herod. VI, 83. dubitanter; Schaeferus βίᾳ (βίῃ). 4. Libri ἐχειρώθη. Correxit Valckenarius. 5. ἀρχὴν libri: »plane, penitus, omnino« Reiskius. Lobeckius Ajac. p. 219. ὀργῇ et κυκλεύμενος. Libri κυκεύμενος.

Fr. 30. Diogenianus Provv. II, 99. Apostol. IV, 53. Ἐκ

IX. Σκόλιον.

31.

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα
μὴ κρυπτὸν ἔχων ἔγχος κραδίῃ
φαιδρῷ προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελαίνης φρενὸς γεγωνῇ.

V. Phocylidis Milesii.

Olymp. LIX.

Suidas: Φωκυλίδης, Μιλήσιος, φιλόσοφος, σύγχρονος Θεόγνιδος· ἦν δὲ ἑκάτερος μετὰ χμῆ ἔτη τῶν Τρωϊκῶν, Ὀλυμπιάδι γεγονότες νθ'. Ἔγραψεν ἔπη καὶ ἐλεγείας, παραινέσεις ἤτοι γνώμας, ἄστινας Κεφάλαια ἐπιγράφουσιν· εἰσὶ δὲ ἐκ τῶν Σιβυλλιακῶν κεκλεμμένα.

1.

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ· Πάντες, πλὴν Προκλέους· καὶ Προκλῆς Λέριος.

τῶν Σόλωνος ἐλεγείων (ἰάμβων vel ὑποθηκῶν ludit Gaisfordus) παραινετική. Locum non intellexisse videntur Gaisfordus Ἄρχων ἄ. καὶ δίκαια κἀδίκα, Bacchius Ἄρχων ἄ. καὶ δικαίῳ κἀδίκῳ tentantes. Scripsi Ἀρχῶν. Magistratibus obediendum esse Solon praecepit.

IX. Σκόλιον. Fr. 31. Diogenes Laert. I, 61. Τῶν ᾀδομένων αὐτοῦ ἐστὶ τάδε· Πεφυλαγμένος κτλ. Vide Ilgenium ad Scoll. XXXIX. 2. Libri ἔγχος ἔχων: transposuit Ilgenius. 3. πρός σ' ἐνέπῃ Ilgenius.

V. Phocylidis Milesii Fr. 1. Strabo X, 487. Διεβέβληντο γὰρ ὡς κακοήθεις οἱ Λέριοι· ἔστι δὲ τῶν Σποράδων Λερία. Cfr. Eustath. Dionys. Perieg. 530. Demodocus Lerius Anth. Pal. XII, 27. Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί· οὐχ ὁ μὲν, ὃς δ' οὔ· Πάντες πλὴν Προκλέους· καὶ Προκλῆς Χίϊος. De illo ὁ μὲν, ὃς δέ v. Matth. Gr. §. 289, 7.

2.

Χρηίζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

3.

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνὸς, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης·
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς οὔτ' ἄρ κακὴ οὐδὲ μὲν ἐσθλή· 5
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

4.

Καὶ τόδε Φωκυλίδεω· τί πλέον γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις οὔτ' ἐνὶ βουλῇ;

5.

Καὶ τόδε Φωκυλίδεω· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινεύσης.

Fr. 2. Stobaeus Floril. LVI, 6. De cornu Amaltheae v. Zenob. Provv. II, 48.

Fr. 3. Stobaeus Floril. LXXIII, 60. Cfr. Simonidis Amorgini carmen de Mulieribus. 8. *γάμον ἱμερόεντα* Brunckius.

Fr. 4. Stobaeus Floril. LXXXVII, 2. Libri *Φωκυλίδου*. Brunckius *τί πλέον — βουλῇ;* ex codice, ut ait. Et ita Wakefieldius correxit. »Vulgata *τὸ πλέον — βουλῇ·* ironice intelligenda est.« Boissonadius.

Fr. 5. Dio Chrysostomus XXXVI, 80. (440.) *Ἡ τοῦ Φωκυλίδου ποίησίς ἐστιν οὐ τῶν μακράν τινα καὶ συνεχῆ ποίησιν εἰρόντων, ὥσπερ ὁ ὑμέτερος μίαν ἐξῆς διέξεισι μάχην ἐν πλείοσιν ἢ πεντακισχιλίοις ἔπεσιν· ἀλλὰ κατὰ δύο καὶ τρία ἔπη αὐτῷ καὶ ἀρχὴν ἡ ποίησις καὶ πέρας λαμβάνει, ὥστε καὶ προσῃθῆσι τὸ ὄνομα αὐτοῦ καθ' ἕκαστον διανόημα, ἅτε σπουδαῖον καὶ πολλοῦ ἄξιον ἡγούμενος· οὐχ ὥσπερ Ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως ὠνόμασεν αὑτόν· ἢ οὐ δοκεῖ σοι εἰκότως προσθεῖναι Φωκυλίδης τῇ τοιαύτῃ γνώμῃ καὶ ἀποφάσει; Καὶ τόδε κτλ.* 2. *κρέσσων* ed. Venet. et codex Regius. Vulgo *κρείσσων*. Postea *ἀφραινούσης* legebatur.

6.

Καὶ τόδε Φωκυλίδεω· χρή τοι τὸν ἑταῖρον ἑταίρῳ
φροντίζειν ἄσσ' ἂν περιγογγύζωσι πολῖται.

7.

Χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισσομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

8.

Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.

9.

Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδάσκεμεν ἔργα.

10.

Πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.

11.

Ἀλλ' ἄρα δαίμονές εἰσιν ἐπ' ἀνδράσιν ἄλλοτε ἄλλοι,
οἱ μὲν ἐπερχομένου κακὸν ἀνέρος ἐκλύσασθαι.

12.

Φεῦγε χρήστης κακοῦ ἔμμεναι ἀνδρός,
μὴ τί σ' ἀνιήσειε διδούς, παρὰ καιρὸν ἀπαιτέων.

Fr. 6. Phrynichus Ecl. 358. Lobeck. *Γογγυσμὸς καὶ γογγύζειν: ταῦτα ἀδόκιμα μὲν οὐκ ἔστιν, ἰακὰ δέ. Φωκυλίδην γὰρ οἶδα κεχρημένον αὐτῷ τὸν Μιλήσιον, ἄνδρα παλαιὸν σφόδρα· Καὶ κτλ.*

Fr. 7. Athenaeus X, 428, B.

Fr. 8. Aristoteles Polit. IV, 8. *Καλῶς εὔξατο Φωκυλίδης· Πολλὰ κτλ.* Cfr. Theognid. 335.

Fr. 9. Plutarchus Morall. II, 3, F.

Fr. 10. Plutarchus Morall. II, 47, E.

Fr. 11. Clemens Alex. Stromm. V, 725. Potter. *Φωκυλίδης τοὺς ἀγγέλους δαίμονας καλῶν τοὺς μὲν εἶναι ἀγαθοὺς αὐτῶν, τοὺς δὲ φαύλους διὰ τούτων παρίστησιν, Ἀλλ' ἄρα κτλ.*

Fr. 12. Scholl. Aristoph. Nubb. 241. *Φωκυλίδης ἐν μὲν τοῖς αὐτοῦ ποιήμασι κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων οὕτως· χρήστης κ. ἔ. ἀ. φεῦγε, μὴ*

VI. Xenophanis Colophonii.

Xenophanes Colophonius Dexini vel Orthomenis filius quo tempore vixerit dissentiunt auctores veteres. Clemens Alex. Stromm. I, 353. Potter. *Τῆς Ἐλεατικῆς ἀγωγῆς Ξενοφάνης ὁ Κολοφάνιος κατάρχει, ὅν φησι Τίμαιος κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι; Ἀπολλόδωρος δὲ κατὰ τὴν τεσσαρακοστὴν Ὀλυμπιάδα γενόμενον παρατετακέναι μέχρι τῶν [Δαρείου τε καὶ] Κύρου χρόνων.* Apollodori rationem sequitur Sextus Empiricus adv. Math. I, 257. neque aliter censuisse Solion videtur, qui apud Diogenem Laert. IX, 18. Anaximandri aequalem vocat. Vel sic tamen a Timaei partibus standum videtur, v. Welckeri Cycl. Epic. p. 401 sq. Hieronymus Chronico sub Olymp. LX, adscripsit: *Simonides Lyricus et Phocylides et Xenophanes Physicus, scriptor tragoediarum, clari habentur.* Congruit Diogenes, qui Xenophanem *ἀκμάσαι κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα* scribit. Quam Olympiadem ut ligerent impulisse videtur ipsius Xenophanis locus, quo Harpagi in Ionicas civitates expeditionem perstrinxit fr. XVII. Karsten.

Πηλίκος ἦσθ' ὅθ' ὁ Μῆδος ἀφίκετο;

quae impressio Olymp. LIX, 1. facta est. Ad eam aetatem spectare videtur fr. Elegiarum VII. nostrae editionis, quo quum senex nonaginta duorum annorum testetur ipse, sexaginta septem jam annos ipsius *φροντίδα* Graeciam pervagatam esse seque *ea aetate* viginti quinque annorum fuisse: illud videtur tempus significasse, quo *ἐξέπεσε τῆς πατρίδος* — sic enim testatur Diogenes — cum aliis Ionicarum urbium civibus Graeciamque Europacam, Siciliam et Magnam Graeciam adiit. Theologumena

---

σ' ἀν. κτλ. Sic legebatur ante Ernestium et Reizium. *Φεῦγε* Ernestius delebat: Hermanno fortasse Scholiastae verbum est.

senex et inopia pressus scripserit. At vix Welckerus ipse infitias eat, in eundem cadere hominem, ut juvenis ludat, senex si non morose at severe cum juvenibus agat. Neque Welckerus a Theognide omnia ista aliena censet: si quid remissius scripserit poeta, a turpitudine tamen temperasse ac separatim nec multa hujus generis edidisse. Dubitabilis limitatio.

Quintum sejunxit ea, in quibus poeta Polypaïdam — *Πολυπαΐδης* enim auctore Petro Elmsleio recte nunc scribitur, quum codd. et edd. priores ubique *Πολυπαίδης* monstrent — affatur, licet ea auctorem habere poetam Megarensem certissimum sit. Ponit enim Welckerus, qui huc trahit Suidae verba: *καὶ ἑτέρας ὑποθήκας παραινετικάς*, alterum exstitisse Gnomologiam ad Polypaïdam, argumenti quam maxime similis priori: valde enim mirandum esse, in eadem Gnomologia tot tamque similes exstitisse gnomas, quae verbis paullulum inflexis recurrant: compone versus 291 sqq. cum 647 sqq.; 731 cum 373; 209 cum 211; 643 cum 115; 213 cum 1071; 335 cum 401; 39 cum 1031. Verum periculum est, ne quaedam a compilatore bis in ordinem coacta sint diversis locis, quae primitus eadem tractu temporis et vario usu, id quod in ejusmodi carminibus persaepe usu venit, paullo essent immutata.

Nobis *Πολυπαΐδης* est patronymicum Cyrni, a patris nomine *Πολυπᾶις*, h. e. *Πολυπάμων*, forma Doriensibus sueta. Jam non opus erit ut violenter divellantur quae eodem sententiarum flumine a Cyrni compellatione ad Polypaïdam deflectunt, verbi gratia vv. 53—60. Et unius certe codicis H librarius verum videtur significasse, qui hunc Theognideis praefixerit titulum: *Θεόγνιδος Μεγαρέως γνωμολογία πρὸς Κύρνον Πολυπαίδην τὸν ἐρώμενον.* Vix denique Suidas, qui unam *Γνωμολογίαν* recenset,

reticuisset, si duae diversae gnomologiae ad Cyrnum altera, altera ad Polypaïdam exstitissent.

Postremo, quo digitum intendit auctor a Suida exscriptus, carmina παιδικὰ maximam partem ab Immanuele Bekkero demum ex praestantissimo libro Mutinensi protracta diremit a corpore Theognideo Welckerus. In quo codice optimo quum priora et a reliquis codicibus servata Ἐλεγείων ά inscribantur, haec ad calcem relegata Ἐλεγείων β appellentur: jam a Grammaticis separatim posita patet carmina παιδικά. Quanquam illi minus religiosi in componendis paribus versati sunt.

Quid autem secutus sit quisquis hanc Theognideam saturam apparavit, difficilis incidit quaestio. Nullo fere certo consilio undique omnia corrasa esse et in unam Myconum conducta demonstrare videntur quae supra de ordine Xenophonteo disputabamus. Neque tamen adducimur, ut assentiamur Welckero, qui Proll. CIII. in eam abeat opinionem, ut locos omni compagine solutos ex aliis scriptoribus vel Florilegiorum concinnatoribus vel qui afferendis illis ipsorum dictis fidem et auctoritatem conciliavissent, temere in unum conflatos esse statuat. Quod non videtur credibile esse. Potius frequenti usu — constatque pueris in manus tradita fuisse Theognidea ediscenda — nescio quo tandem fato factum videtur, ut conturbato ordine pristino novicius se insinuaret. Exstiterit necesse est aliquis, qui et Theognidea et aliorum poetarum frustula Elegiaca compingeret, in eam ille curam sedulo intentus, ut ea potissimum consignaret quae essent sententiosa; posthaberet quibus certarum rerum impressae notae essent. Is tunc novus ordo, non ordo, quem post Ioannis Stobaei aetatem invaluisse evicit Welckerus, ita evaluit, ut ab omnibus librariis cum religione propagaretur. In hac indigesta mole interdum sinistre conflata, quae luxata rectius habentur, quam absurde confusa: πρόσθε λέων, ut

ait ille, ὄπιθεν δὲ δράκων, v. Welckeri Prolegg. CIV sqq. Incerto casui tantum concessum fuit juris, ut, qui mos fuit veterum Grammaticulorum, ex similitudine literarum fragmina juxta collocata appareat, quo de miscello artificio post alios nuper exposuit Lehrsius Quaestt. Epp. 213 sqq. Exstabat autem hic ordo jam saeculo XI, quo Suidas lexicon suum comportavit: ad eandemque paene antiquitatem adscendere videtur codex Mutinensis. Ceterum illud recte tenuere librarii, nullo continuo et interrupto flumine sententias delabi. Nam quod nostra aetate instituit Ric. Brunckius, ut singulas particulas spatio a contiguis sententiis dispesceret, quodque institutum tenuit Imm. Bekkerus et nos tenendum rati sumus, idem factum in codicibus Bekkeri BDHIMNQR.

Welckerus autem sic aggressus est resuscitationem Theognidis satis periculosam, ut haudquaquam voluerit videri compositionis artem pristinam, si qua fuit, redintegrare conatus esse — id enim excederet humanarum virium mediocritatem —, sed ut paria juncta paribus, similibus similia, expeditiorem redderent et jucundiorem poetae intellectum. Quem autem cursum tenuerit vir summus in itinere lubrico et ambiguo vindicat CVIII sqq. Nobis hoc deberi videbatur codicum manu scriptorum et multitudini et vetustati, ut ordinem constanter traditum immutare religioni duceremus, quam praesertim, si ab octo versibus primis recesseris, Welckeri ordo carens rectore fluctuet. In eandem sententiam disputat Geelius Bibl. Crit. Nov. 1828, IV, 220 sqq. —

Consectarium est, ut de vita poetae quam poterimus brevissime absolvamus. Proficiscamur ab Harpocratione, qui haec consignavit: *Τοῦ ποιητοῦ Θεόγνιδος μνημονεύει Ἰσοκράτης ἐν ταῖς πρὸς Νικοκλέα ὑποθήκαις* (Isocr. Nicocl. 12., ubi Hesiodum et Theognidem et Phocylidem *ἀρίστους συμβούλους τῷ βίῳ τῷ τῶν ἀνθρώπων* vocat.) *οὗτος δ' ἦν Μεγαρεὺς*

ἀπὸ τῶν πρὸς τῇ Ἀττικῇ Μεγάρων· αὐτὸς γάρ φησιν ὁ ποιητὴς (v. 783.)·

Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν.

ᾧ μὴ ἐπιστήσας Πλάτων ἐν ᾱ Νόμων τῶν ἐν Σικελίᾳ Μεγαρέων πολίτην ἔφασκεν [*εἰς Σικελίαν*]. *κατηκολούθησαν δὲ τῷ Πλάτωνι οὐκ ὀλίγοι.* Illa *εἰς Σικελίαν* secludsit Dobraeus. Natus Theognis Megaris juxta Atticam degit in Sicilia, Euboea, Lacedaemone, ubi se hospitaliter acceptum praedicat ipse v. 783 sqq. Et Megarensium quidem Siciliae civis factus est, unde Platoni Legg. I, 630, A. est *πολίτης τῶν ἐν Σικελίᾳ Μεγαρέων*, quod de *θέσει*, non *φύσει* intelligi debere nunc nemo est quin consentiat. Recte Scholiasta: *Τί δὲ ἐκώλυεν αὐτὸν ἐκ ταύτης μὲν εἶναι τῆς Μεγαρίδος, ἀπελθόντα δὲ εἰς Σικελίαν, ὡς ἡ ἱστορία ἔχει, γενέσθαι νόμῳ Μεγαρέα ἐκεῖ, ὡς καὶ τὸν Τύρταιον Λακεδαιμόνιον;* Ad Megara juxta Atticam quum alia spectant aperte, tum v. 773 sqq. apertissime. Vixit poeta circa Olympiadem sexagesimam: Hieronymus in Chronico Ol. LIX, 1. vel LVIII, 1. annotavit: *Theognis poeta clarus habetur.* Reliqua quae ad fata poetae illustranda faciunt, ex libro ipsius, quem nobis temperare non potuimus quominus delectui nostro insereremus integrum, lecto et pensitato patescent. Nostrum est, ad exemplum Welckeri paucis enarrare quae condicionem patriae urbis ita exhibeant, unde in poetae intellectum lux redundet.

Multas Megarensium civitas et magnas subiit conversiones rerum civilium. Ipse auctor poeta v. 855 sqq.

Πολλάκις ἡ πόλις ἥδε δὶ ἡγεμόνων κακότητα
ὥσπερ κεκλιμένη νηῦς παρὰ γῆν ἔδραμεν.

Nam quum Theagenes Olymp. XLII. adjutus a plebe nobilium et divitias et potentiam perosa tyrannidem occupasset, de qua arte refert Aristoteles Polit. V, 4, 5., idemque rursus esset expulsus ab Optimatibus, ut putant, quibus insultasse videtur,

Μεγαρεῖς — Plutarchi verba apposui Quaestt. Gr. XVIII. — *ὀλίγον χρόνον ἐσωφρόνησαν κατὰ τὴν πολιτείαν· εἶτα πολλὴν καὶ ἄκρατον αὐτοῖς ἐλευθερίαν τῶν δημαγωγῶν οἰνοχοούντων, διαφθαρέντες παντάπασι τά τε ἄλλα τοῖς πλουσίοις ἀσελγῶς προσεφέροντο καὶ παριόντες ἐς τὰς οἰκίας αὐτῶν οἱ πένητες ἠξίουν ἐστιᾶσθαι καὶ δειπνεῖν πολυτελῶς· εἰ δὲ μὴ τυγχάνοιεν, πρὸς βίαν καὶ μεθ' ὕβρεως ἐχρῶντο πᾶσι. Τέλος δὲ δόγμα θέμενοι τοὺς τόκους ἀνεπράττοντο παρὰ τῶν δανειστῶν, οὓς δεδωκότες ἐτύγχανον, παλιντοκίαν τὸ γιγνόμενον προσαγορεύσαντες.* Verum, ut solebat fieri, demagogorum feracem segetem tulit libertas ista popularis et licentia effrenis. Demagogi enim teste Aristotele Polit. V, 4, 3. *ἐξέβαλον πολλοὺς τῶν γνωρίμων, ἕως πολλοὺς ἐποίησαν φεύγοντας.* Et post: *Οἱ δὲ κατιόντες ἐνίκησαν μαχόμενοι τὸν δῆμον καὶ κατέστησαν τὴν ὀλιγαρχίαν.* Constat ex Thucydide IV, 74. cll. V, 31., *δημοκρατίαν* rursus exceptam esse dominatu paucorum. Inter exsules autem illos et eos qui victa praelio illo plebe redierant, fuit Theognis, qui pleraque tunc condidit carmina, quum principatus nobilium denuo popularibus turbis cessisset: qui status ad Olymp. LXXXIX, 1. usque obtinuit. Theognidi autem, homini nobili, qui ab iis quos fidissimos sibi habuisset turpiter derelictus esset patriisque bonis exutus, novus rerum status bilem movit eumque ardentissimum propugnatorem avitae nobilitatis Doriensis in versus misit galeatos. Desperat poeta de miserrima condicione patriae, quum in transversum agi cuncta et faecem plebejam in omnia sacra profana nequiter grassantem gubernacula civitatis tenere vidit: tentare autem ab altera parte omnia et machinari demagogorum callidissimum genus (*ἀδίκους ἄνδρας*). Omnium tunc rerum alia facies: antiquatae leges patriae, remissa severitas morum et proculcata probitas: agri divisi, domini de avitis possessionibus depulsi, magistratus et sacerdotia a nobilibus delapsa ad *κενεόφρονα δῆ-*

μον, matrimonia inita cum plebejis, omnia lucelli gratia infide patrata, rerum status universus ita concussus, ut qui antea rerum omnium domini exstitissent, jam ad infimae plebeculae contemptum essent detrusi. Quo tunc vel maerore contabuerint vel aestuaverint indignatione animi Optimatium, tanquam in tabula picta Theognidis exhibet libellus. Excusationem autem habet hoc flagrantissimum Optimatium studium illis temporibus, quibus nondum Socrates veriora sanxerat de integra καλοκἀγαθίᾳ et vera nobilitate animi: habet in Theognide praesertim, quem aequum erat summo odio persequi eos, quorum vel perfidia vel crudelitate bonorum omnium jacturam fecisset et extra patriae fines exsul vagaretur. In eo homine non mirandum est, si ἀγαθῶν (vel ἐσθλῶν) et κακῶν (vel δειλῶν) appellatione sic abutitur, ut nobilitatem generis et morum bonitatem, generis humilitatem et pravitatem animi juxta aestimet.

Ea autem praecepta, quae Cyrno Polypaïdae propinat poeta, quibusvis nobilium Doriensium filiis quae ingererentur, digna erant. Quod vero Welckerus ipsum nomen Cyrni appellativum censet, quo universe *puellus generosus* significetur Prolegg. XXXIII, multas id habet et magnas cautiones. Nam parum ea opinatio commendatur vel a more veterum poetarum, qui certum aliquem hominem suaviter affantur, vel a fide antiquitatis, quae Cyrnum amasium poetae vocet, vel a locis nonnullis carminum ipsorum, ex quibus manifesto claret, quo loco Cyrnus fuerit Theognidi, vide vv. 253 sqq., 655., 820., 1051 sqq., vel denique a memoria Photii, qui haec scripsit s. v. *Κύρνος· ἐρώμενος Θεόγνιδος· Μακεδόνες δὲ τοὺς σκοτίους κύρνους καλοῦσιν.* Vox *Κύρνον* ejusdem est radicis propago, ex qua pullularunt κόρος, κοῦρος, κῶρος, κύριος, κοίρανος, alia: verum nihil obstabat, quominus istud nomen homini inderetur proprium. Postremo res confecta

erit, si Cyrnum eundem quem Polypaïdam merito arbitramur. Welckerum autem par fuerat statuere, Polypaïdae nomen et ipsum non certi esse hominis, si ne Cyrni quidem fuisse putavit. —

Inter codices Theognideos unus omnium maxime eminet et vetustate et praestantia Mutinensis Bekkeri (A). Cujus virtutem libri *KO* (Venetus 522. et Vaticanus 915.), ita aemulantur, ut transitum tamen faciant ad reliquorum turpitudinem et sordidas nequitias.

Ὦ ἄνα, Λητοῦς υἱέ, Διὸς τέκος, οὔποτε σεῖο
λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
ἀλλ' αἰεὶ πρώτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
ἀείσω· σὺ δέ μοι κλῦθι καὶ ἐσθλὰ δίδου.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητὼ
φοίνικος ῥαδινῇς χερσὶν ἐφαψαμένη,
ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ,
πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

Ἄρτεμι θηροφόνη, θύγατερ Διός, ἣν Ἀγαμέμνων
εἴσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοῇς,
εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε.
σοὶ μὲν τοῦτο θεὰ μικρόν, ἐμοὶ δὲ μέγα.

---

1. *Λητοῦς υἱέ, Διὸς τέκος.* Similiter Eur. Iph. Aul. 902. Taur. 227. Porson. Phoeniss. 22. 3. Hymn. Hom. XXI, 3. Theocr. XVII, 3. 4. *μοι AO*: reliqui *μεν*. 6. Hymn. Hom. Ap. Del. 118 sqq. Ovid. Met. VI, 336. Cic. Legg. I, 1. 7. De *τροχοειδεῖ λίμνῃ* Herod. II, 170. Seidler. Eur. Iph. Taur. 1074. 9. Hymn. Hom. Cerer. 13. Apoll. Rhod. IV, 1171. 11. *θηροφόνε* Brunckius. Vide Porson. Praef. Hec. IX. Hermann. Orph. 764. Lobeck. Aj. 176. 12. *εἴσαθ'* Bekkerus ex libris plerisque. In A suprascriptum est *cognovit*. Pauci *εἴσαθ'*, *ἴσαθ'*.

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος·
»ὅ ττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστίν.«
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
τοῖσδ' ἔπεσιν, λήσει δ' οὔποτε κλεπτόμενα.
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος.
ὧδε δὲ πᾶς τις ἐρεῖ »Θεύγνιδός ἐστιν ἔπη
τοῦ Μεγαρέος.« πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστός.
ἀστοῖσιν δ' οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεὺς
οὔθ' ὕων πάντεσσ' ἀνδάνει οὔτ' ἀνέχων.

Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός
Κύρν' ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.

Πέπνυσο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.

---

44. καλλιωναΐζαον A: καλλιωναίζαον B: καλλίον' ΐζαον δῆθεν PVL: καλλίον' ἴξαον Casauboni editio secunda. Ilgenius κλαίων, αἰάζων δ' ἦλθεν: Riglerus et Axtius αἴλινον αἰάζων δ' ἦλθεν: Goettlingius Λαρδανίην δέ, θανοῦσαν ὅτ' ἐν ξήρῃ θέτο γαίῃ, κάλλιον ἀείδων ἦλθεν ἀποπρολιπὼν ἄκραν ἐς Κολοφῶνα. Hermannus: Τμώλιον αἴζαον δ' ἦλθεν; nam Hesychius αἰζαόν· τὴν μέσην ὥραν (τὴν μετέωρον Herm.) et αἰζάων· ὀρῶν ὑψηλῶν. Osannus ad Apulej. de orthogr. 23. Κιλλάνιον πεδίον, quod tamen Strabo XIII, 629. Phrygiae accenset, qui ibidem juxta Caystrianum agrum memorat τὸ Κιλβιανὸν πεδίον. Paldamus ad Propert. 303. Καλλίναον Ξάνθον δ' ἦλθεν ἀποπρ. Dixisse poeta videtur, Antimachum Lydiae Lydae amore captum in Lydiam se contulisse: mox sepultis ossibus defunctae in patriam Colophonem, quae in promontorio sita ἄκρη vocatur, redisse. Ceterum conferendus Plutarchus Morall. II, 106, B. Ἀποθανούσης τῆς γυναικὸς αὐτοῦ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην, ἐξαριθμησάμενος τὰς ἡρωϊκὰς συμφορὰς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην. 47. Exstant hodieque carminum frustula, quibus Alcaeus Sapphonem, Sappho Alcaeum alloquitur, v. Neue fr. 61. Prolegg. p. 3. et Alcaei fr. XLI. II. Matthiae. ἀνεδείξατο, *dedicavit* Mitscherlichius in Hymn. Hom. Cerer. p. 225. Libri ἀνεδέξατο. 49. ὑμνῶν A.

50. Athenaeus 599, C. Ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται συγχρονεῖν οἰόμενος Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ' Ἀλυάττην τὸν Κροίσου πατέρα. Et post: ἐγὼ δὲ ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνακτα περὶ τούτου τοῦ ἔρωτος. καὶ γὰρ Λίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ· δράματι Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα. Vide Neue p. 3. Plehn. Lesbiac. 180 sqq. Bergk. Anacr. 100. 51. Hermannus: »Edd. Ἀνακρείων. MSS. Ἀνακρέων, quod praeferrem, si ἐφωμίλησεν plene scriptum invenirem. Valde enim insoleuter penultima sub ictu versus pro-

στελλομένην πολλαῖς ἄμμιγα Λεσβιάσιν
φοίτα δ' ἄλλοτε μὲν λείπων Σάμον, ἄλλοτε δ' αὐτὴν
οἰνηρὴν * δοῦριν κεκλιμένην πατρίδα,
Λέσβον ἐς εὔοινον· τὸ δ' ὁμούριον εἶχιδε Λεκτὸν
πολλάκις Αἰολικοῦ κύματος ἀντιπέρας.

Ἀτθὶς δ' οἷα μέλισσα πολυπρήωνα κολώνην
λείπουσ' ἐν τραγικαῖς ἤδε χοροστασίαις
Βάκχον καὶ τὸν Ἔρωτ' * ἀγειραιθειαρειδος
* * * * * Ζεὺς ἔπορεν Σοφοκλεῖ.

---

ducitur, et facillime id evitare potuerat poeta, si scripsisset, καὶ γὰρ τὴν ὁ μελιχρὸς Ἀνακρείων ἐφίλησεν.« 52. Hermannus: »Exquisitiora amans poeta dicere videtur τὴν μεταπεμπομένην, ad quam multa miserit carmina Anacreon.« Intelligenda Sappho in pompa multis circumfusas puellis incedens. 53. Sami commorabatur apud Polycratem, Herod. III, 121. 54. δοῦριν VL: δοῦχιν P: δουρὶ Casaubonus: δήρι vel δήρει vel δούρει Bergkius Anacr. 142. Referunt ad Teum ab Harpago captam, v. Herod. I, 168. Nisi poeta οὔρει vel ὄρεσιν dederat, quod cum οἰνηρὴν pulchrius congruit. Teste Strabone Teos ἐπὶ χερρονήσῳ ἵδρυτο.

55. Paldamus ad Propert. 303. Λέσβον ἐς εὔυμνον, cll. Phanocl. Eleg. I, 22. Libri τὸ δὲ μυρίον εἶχιδε λέκτρον: illud Hermannus, hoc Casaubonus correxit, qui τὸ δὲ δὴ ῥίον conjecerat; non inepte Wenschius Μύσιον tentavit, quanquam Lectum, Idae promontorium, Aeolidem et Troadem disterminat, insulae Lesbo oppositum, v. Il. Ξ, 284. cum Scholiis. At constat quam late Mysiae appellatio patuerit. Ὁμούριον, vicinum. 57. Libri αὐθὶς: Ἀτθὶς Ruhnkenius. πολυπρήωνα κολώνην (Κολωνὸν Lennepius) Ruhnkenius; libri πολυπρίωνα κοδώνην. Suidas v. Σοφοκλῆς· προεγηορεύθη δὲ μέλιττα διὰ τὸ ἡδύ. Alludit poeta ad pagum Atticum Κολωνόν, unde Sophocles oriundus erat.

59. αγειραιθειαρειδος AB: ἀγεῖραιθ' αρειδὸς PVL. Amicae Theoridis nomen latere perspexit Lennepius: Ath. XIII, 592, A. Σοφοκλῆς ὁ τραγῳδιοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας. — μνημονεύει δὲ αὐτῆς λέγων ἔν τινι στασίμῳ οὕτως· Φίλη γὰρ ἡ Θεωρίς. Hermanno verisimile est hos versus ad hunc fere modum scriptos fuisse:

Ἀτθὶς δ' οἷα μέλισσα, πολυπρήωνα Κολωνὸν
λείπουσ', ἐν τραγικαῖς ἤδε χοροστασίαις
Βάκχον, καὶ τὸν ἔρωτ' ἀνέγειρε Θεωρίδος, [οἶσθα],
[τεχνοσόφῳ φρενί, τὴν] Ζεὺς ἔπορεν Σοφοκλεῖ.

Vel [καὶ γεραιῷ γὰρ ἐρᾶν]. Mire Reisigius Oed. Col. IV.

Φημὶ δὲ κἀκεῖνον τὸν ἀεὶ πεφυλαγμένον ἄνδρα
καὶ * πάντων μῖσος κτώμενον ἐκ συνοχῶν
πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα
τόξου, νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας.
ἀλλὰ Μακηδονίης πάσας * κατενίσατο λαύρας,
* Αἰγείων μέθεπεν δ' Ἀρχέλεω ταμίην,
εἰςόκε τοι δαίμων, Εὐριπίδη, εὗρετ' ὄλεθρον,
ἀμφὶ βίου στυγνῶν ἀντιάσαντι κυνῶν.

Ἄνδρα δὲ, τὸν Κυθέρηθεν ἀνεθρέψαντο τιθῆναι
Βάκχου καὶ λωτοῦ πιστότατον ταμίην,
Μούσαις παιδευθέντα Φιλόξενον, οἷα τινιχθεὶς
ὠργῇ ταύτης * ἦλθε διὰ πτόλεως,

Riglerus et Axtius: *γέρας δὲ Θεωρίδι δῶκεν ᾠδῶν, ὥντε χάριν Ζεὺς ἔπορεν Σοφοκλεῖ*. Ruhnkenius *ἔρωτα γεραῖραι . . . .*

62. Jacobsius: *ἠὸ' ἀπαλῶν μῖσος κτώμενον ἐξ ὀνύχων*. Hermannus: *καὶ σπανίων μῖσος κτώμενον ἐκ συνόδων*. Nam Moschopulus in Vita Euripidis: *σκυθρωπὸς δὲ τὸ ἦθος ἦν καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας· ὅθεν καὶ μισογύνης ἐδοξάσθη*. Riglerus et Axtius: *καὶ πρώτων μῖσος κτ. ἐξ ὀνύχων*. 65. *κατενίσσατο* Hermannus: malim *κατεδύσατο*.

66. *Αἰγείων* nomen amicae Euripideae continere videtur: Moschopulus Vita Euripidis: *Ἕτεροι δὲ ἱστόρησαν, οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν αὐτὸν διασπασθῆναι, πορευόμενον ἀμφὶ πρὸς Κράτερον τὸν ἐρώμενον Ἀρχελάου. καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας. οἱ δέ, πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου*. Ilgenius *Αἰγεινώ*. Bergkius Commentatt. Com. Att. 96. *Μακηδονίῃ — Αἰγειῶν* vel *Αἰγάων*, quum Aegae regni Macedonici caput fuisse videantur.

67. *εἰςόκε τοι δαίμων, Εὐριπίδη, εὗρετ' ὄλεθρον* Porsonus: Codices (*τοι* omisso) *Εὐριπίδῃ* habent: *εὗρετ'* AB: *εὗρεν* PVL: *σοί* Bergkius. 68. Hermannus et Bergkius *Ἀμφιβίου*: Moschopulus Lysimachum vocat. 69. *τε* B. Tum vulgo *ἀνετρέψαντο*. Hermanno elegantius scribi videtur: *ἄνδρα δὲ τὸν Κυθέρηθεν, ὃν ἐθρέψαντο*. Non assentior. 71. Legebatur *Μοῦσαι, παιδ.* Hermannus: »*Παιδευθέντα* significat *castigatum*: respicit enim poeta poenam, qua affectus a Dionysio fuerat Philoxenus: unde ille *τινιχθείς*, *vehementer commotus*, magno cum ejulatu per urbem Colophonem transiit, quum se in patriam Cythera reciperet.« Potius Philoxenus Cytheris profectus videtur Ephesum, ubi obisse fertur.

γιγνώσκεις, ἀΐουσα μέγαν πόθον, ὃν Γαλατείης
αὐτοῖς μηλείοις θήκαθ' ὑπὸ προγόνοις.

Οἶσθα δὲ καὶ τὸν ἀοιδὸν, ὃν Εὐρυπύλου παλιῆται
Κῶοι χάλκειον θῆκαν ὑπὸ πλατάνῳ,
Βιττίδα μολπάζοντα θοὴν, περὶ πάντα Φιλητᾶν
ῥήματα καὶ πᾶσαν ῥυόμενον λαλιήν.

Οὐδὲ μὲν οὐδ' ὁπόσοι σκληρὸν βίον ἐστήσαντο
ἀνθρώπων, σκολιὴν μαιόμενοι σοφίην,
οὓς αὐτὴ περὶ πικρὰ λόγοις ἐσφίγξατο μῆτις
καὶ δεινὴ μύθων κῆδος ἔχουσ' ἀρετή,
οὐδ' οἳ δεινὸν ἔρωτος ἀπετρέψαντο κυδοιμὸν
φαινόμενον, δεινὸν δ' ἦλθον ὑφ' ἡνίοχον,

---

73. ἀΐουσα μέγαν Ruhnkenius: καὶ οὖσαν μέγαν ABP: καὶ οὐσαμέγαν V: καίουσα μέγαν L. 74. Libri μηλίοις: correxit Heringa. Hermannus: »Tibicina illa fuit, amata Dionysio, ut ex Athenaeo I, 6, F. sq. compertum habemus: (ἐπειδὴ δὲ Φιλόξενος τὴν ἐρωμένην Γαλάτειαν ἐφωράθη διαφθείρων, εἰς τὰς λατομίας ἐνεβλήθη, ἐν αἷς ποιῶν τὸν Κύκλωπα, συνέθηκε τὸν μῦθον εἰς τὸ περὶ αὑτὸν γενόμενον πάθος, τὸν μὲν Διονύσιον Κύκλωπα ὑποστησάμενος, τὴν δ' αὐλητρίδα Γαλατείαν, ἑαυτὸν δ' Ὀδυσσέα.) Eam Hermesianax dicere videtur, primum oves pavisse, eoque jam tempore amore incendisse Philoxenum.« Hesychius Πρόγονοι· οἱ πρωτόγονοι ἄρνες. Ilgenio poeta dicere videbatur, Philoxenum Galateae desiderium vel ipsis agnis incussisse. Nobis locus valde corruptus esse videtur. 75. Il. B, 677. Κῶν Εὐρυπύλοιο πόλιν. Propert. IV, 5, 23. 77. Βαττίδα Scaliger: nam Ovidius Tristt. I, 6, 2. et Pont. III, 1, 58. Battidem vocat. 78. τρυόμενον Hermannus. ἐκτήσαντο Porsonus. 80. σκοτίην Heinrichius. 81. αὐτοί B, Hermannus αὐή, quos anhelans cura disputando de rebus amoris macilentos reddit. Porsonus πυκνά. Hermannus: Πικρὰ vel amori opposita, vel acuta intellige. Περίπικρα Riglerus et Axtius. 82. κῆδος A: κῦδος PVL. 83. οἶδεν ὃν AB: οἱ δὲ τὸν P: οἳ δεινὸν V. Vulgo ex Westoni conjectura οἵδ' αἰνόν. Aldi scripturam Hermannus tuetur usui epicae dictionis congruam, ut apud Homerum οὐδὲ μὲν οὐδ' οἳ ἄναρχοι ἔσαν. ἀπεστρέψαντο AB: ἀπετρέψαντο PVL, quod Hermanno placet, quum pateat, non dici illos non aversatos esse bellum Amoris, sed propulsare nequivisse. 84. Hermannus φθανόμενοι δεινὸν δ' ἦλθον ὑφ' ἡνίοχον. Heinrichius μαινόμενοι δ' ἦλθον.

Οἵη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς
Πυθαγόρην, ἑλίκων κομψὰ γεωμετρίης
εὑρόμενον, καὶ κύκλον ὅσον περιβάλλεται αἰθὴρ
βαιῇ ἐνὶ σφαίρῃ πάντ' ἀποτασσόμενον.

Οἵῳ δ' ἐχλίηνεν, ὃν ἔξοχον ἔχρη Ἀπόλλων
ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ,
Κύπρις μηνίουσα πυρὸς μένει· ἐκ δὲ βαθείης
ψυχῆς κουφοτέρας ἐξεπόνησ' ἀνίας,
οἰκὶ ἐς Ἀσπασίης πωλεύμενος· οὐδέ τι τέκμαρ
εὗρε, λόγῳ πολλὰς εὑρόμενος διόδους.

Ἄνδρα Κυρηναῖον δ' εἴσω πόθος ἔσπασεν Ἰσθμοῦ
δεινός, ὅτ' * ἀπιδανῆς Λαΐδος ἠράσατο
ὀξὺς Ἀριστίππος, πάσας δ' ἠνήνατο λέσχας
φεύγων * οὐδαμέων ἐξεφόρησε βίῳ.

---

86. Heinrichius καμψά, *flexus curvos, spiras.* 88. βαιῇ ἐνὶ] βίης ἐν ABP: βαιῇ τ' ἐν VL. Illud Dindorfius. Hemsterhusius: βαιῇ τ' ἐν σφαίρῃ πάντ' ἀπομασσόμενον. »Ἀποτασσόμενον proprie est distribuentem« Hermannus. Probo Hemsterhusium: Pythagoras *universum orbem terrarum in exigua sphaera effinxit.* 89. ἐχλίηνεν ὅν Heringa: libri ἐχλειημένον. ἔχρη Ἀπόλλων ἀνθρώπων εἶναι Porsonus. Wyttenbachius εἶναι Ἀπόλλων ἔχρησ' ἀνθρώπων. AB ἔχρῆν πολλῶν δ' ἀνθρώπων εἶναι: PVL ἔχρῆν (sequitur lacunae indicium) εἶναι πολλῶν δ' ἀνθρώπων. Vide Platonis Apolog. 21, A. 92. PVL κουροτέρας. *Quum ex profunda mente leviores curas elaborasse Socrates dicitur, in his eum curis mentem suam, alias in rebus gravissimis occupatam, exercuisse significat poeta.* Hermannus. 94. Heringa λόγων: Hermannus *Recte*, ait, *libri λόγῳ. Hoc enim dicit poeta, non potuisse facto fine invenire Socratem, quum tamen verbis ubique se expedire didicisset. Non male legeretur* Οὐδέ τι τέκμαρ εὗρ' ὁ λόγῳ πολλὰς εὑρόμενος διόδους. Ceterum εὑράμενος libri: correxit Dindorfius. 95. Libri omittunt δ'. Unde Hermannus ἄνδρα δὲ Κυρηναῖον ἔσω πόθος ἔσπασεν Ἰσθμοῦ δεινός, ubi δεινόν librorum scripturam emendavit Ruhnkenius. 96. Ruhnkenius εὐπιθάνης: Hermannus ἀπιθάνης, *non quod Aristippus eam magna pecunia conduxerit, sed quod florida aetate difficilis aditu fuit, de qua re scriptum apud* Ath. XIII, 570, B. C. 585, D. 98. Porsonus ἐξ Ἐφύρης ἐβίω. Hermannus: φεύγων εἰλιμένων ἐξ Ἐφύρης ὁρίων. *Aeginam enim*, inquit, *cum*

XVI. Phanoclis Elegiae.

Phanocles, quem post aetatem Demosthenis vixisse scimus, v. Clementem ad fr. 2., quam patriam habuerit incompertum est. Elegiae ipsius, quibus amores masculos celebraverat, Ἔρωτες ἢ καλοὶ inscriptae erant. Vide Welckeri Vindicias Sapphonis 31 sqq.

1.

Ἦ ὡς Οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς
ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην.
Πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἔζετ' ἀείδων
ὃν πόθον· οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,
ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι
ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν.
Τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι
ἔκτανον, εὐήκη φάσγανα θηξάμεναι,

Laide petere consueverat Aristippus, teste Ath. 588, E. Ἀρίστιππος δὲ κατ' ἔτος συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ τοῖς Ποσειδωνίοις. *Nec solo id Neptuniorum tempore factum esse idem Ath. indicat* 544, D. διέτριβε δ' ὁ Ἀρίστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν. Friedemannus de Med. Syll. Pent. 298. οὐδ' ἀνέμων ἐξεφοβεῖτο βίαν, quia Aristippum Isthmum navigantem vehementissima tempestate maris correptum summum adisse vitae discrimen scribunt Diog. L. IV, 142. Huebner. et Aelian. V. H. IX, 20. In eundem intellectum facilior erit correctio haec: οὐδ' ἀνέμων ἐξεφόβησε βίη. Ceterum de Aristippi cum Laide consuetudine v. Fr. Jacobsii Scripta Miscell. IV, 403 sqq. 425 sqq.

Phanoclis Fr. 1. Stobaeus Floril. LXIV, 14. Tractavit Ruhnkenius Ep. Crit. II, 323 (299). 4. οὐδέ οἱ ἦν Hermannus Orph. 785. 5. ὑπὸ ψυχήν B. μελεδῶναι AB Voss. Arsen.: vulgo μελεδῶνες, v. Lobeck. Parall. I, 146. 6. Vulgo δερκόμενον: AB Voss. δερκομένου. Intellige cum Valckenario Diatr. Eur. 199, C. μελεδῶναι δερκομένου Κάλαϊν ἔτρυγον αὐτόν. Praetulit poeta genitivum ob perspicuitatem. 8. Ita libri optimi: vulgo εὐμήκη, v. Schaefer. Greg. Cor. 533.

οὕνεκα πρῶτος δεῖξεν ἐνὶ Θρῄκεσσιν ἔρωτας
ἄῤῥενας, οὐδὲ πόθους ἤνεσε θηλυτέρων.
Τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ' αὐτὴν
εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ,
ἣλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.
Τὰς δ' ἱερῇ Λέσβῳ πολιὴ ἐπέκελσε θάλασσα·
ἠχὴ δ' ὡς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν·
ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
Ἐκ κείνου μολπή τε καὶ ἱμερτὴ κιθαριστὺς
νῆσον ἔχει, πασέων δ' ἐστὶν ἀοιδοτάτη.

---

9. πρῶτος δεῖξεν A: vulgo πρῶτον ἔδειξεν. Confer Ovid. Metam. X, 83 sqq. 15. Ovid. Metam. IX, 50 sqq. Plehn. Lesbiacc. 138 sqq. 17. Πέτρη ἁλιμυρής Apoll. Rhod. I, 913. ubi Scholia τὴν ὑπὸ θαλάσσης περιῤῥεομένην interpretantur. 20. Φόρκον Orcum, στυγνὸν ὕδωρ Stygiam undam intelligunt Muellerus Orchom. 155. Welckerus Trilog. Aesch. 383. Meinekius Euphor. 122. Jacobsius Lectt. Stob. 106. Ruhnkenius mare intelligebat, cui ita assentitur Lobeckius Aglaoph. 863 sq., ut dici arbitretur eam partem maris, »qua Symplegades eminent, nautis omnibus formidabiles, quam partem Phorco ille ἀλὸς ἀτρυγέτοιο μέδοντι multorumque monstrorum progenitori quasi propriam dicionem subjectam fuisse e Carystii loco (Scholl. Theocr. III, 22. Καρύστιος Περγαμηνός φησι Κυανέας μὲν ὑπὸ ἀνθρώπων, ὑπὸ δὲ θεῶν ὅρκου πύλας [Φόρκου Meinekius] εἰρῆσθαι.) colligi potest, si ille Symplegades tanquam vastissimi regni ostia Φόρκου πύλας nominavit. Ceterum Phanocli obversatum quidem videtur Orphei iter Colchicum et Planetarum transvectio, de qua ipse narrat in Argon. v. 707. αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἠμετέρῃσι πέτρας ἠλιβάτους, sed tamen ita ut Orpheo universe vim et potestatem sedandorum fluctuum tribuat, alioqui ἔπεισε scripsisset, non ἔπειθε.« Addit Lobeckius ab Orpheo *ventos frenari et undas* apud Claudian. Praef. L. II. Rapt. 17. Adde Simonidis Epinic. fr. XVIII. Denique haec subjicit: »Si expressam hujus facti (itineris Colchici) memoriam proponere voluisset Phanocles, non ἀναύδους scripsisset, quod saxis in universum, non illis tumultuosissimis scopulis convenit, sed ἀναιδέας, quod unicuique primum occurrit. Dionysius Perieg. v. 143. κυανέας ὅθι μῦθος ἀναιδέας εἰν ἁλὶ πέτρας.« 22. Sic A: πασέων τ' vulgo: πασέων Trincavellus.

Θρῇκες δ' ὡς ἐδάησαν Ἀρηΐοι ἔργα γυναικῶν
ἄγρια καὶ πάντας δεινὸν ἐςῆλθεν ἄχος,
ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροῒ σήματ' ἔχουσαι
κυάνεα, στυγεροῦ μὴ λελάθοιντο φόνου.
ποινὰς δ' Ὀρφῆϊ κταμένῳ στίζουσι γυναῖκας
εἰςέτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.

2.

Ἀλλὰ τὸ Μοιράων νῆμ' ἄλλυτον οὐδέ πη ἔστιν
ἐκφυγέειν, ὁπόσοι γῆν ἐπιφερβόμεθα.

3.

Ἦ ὡς θεῖον Ἄδωνιν ὀρειφοίτης Διόνυσος
ἥρπασεν, ἡγαθέην Κύπρον ἐποιχόμενος.

XVII. Alexandri Pleuronii.

Olymp. CXXVII.

Suidas: Ἀλέξανδρος Αἰτωλὸς ἐκ πόλεως Πλευρῶνος, υἱὸς Σατύρου καὶ Στρατοκλείας, γραμματικός. οὗτος καὶ τραγῳδίας ἔγραψεν· ὡς καὶ τῶν ἑπτὰ τραγικῶν ἕνα κριθῆναι, οἵπερ ἐπεκλήθησαν ἡ Πλειάς.

---

23. Ἀρηΐοι A. Voss. Ars. marg. Gesn. Reliqui ἀρηΐα. 26. μὴ λελάθοιντο B. 27. τίνουσι γυναῖκες Ruhnkenius, ipse afferens Plutarch. Ser. N. V. 2. Οὐδὲ γὰρ Θρᾷκας ἐπαινοῦμεν, ὅτι στίζουσιν ἄχρι νῦν, τιμωροῦντες τῷ Ὀρφεῖ, τὰς αὐτῶν γυναῖκας. Ceterum cfr. Herod. V, 6.

Fr. 2. Clemens Alex. Stromm. VI, 750. Potter. Δημοθένους εἰπόντος· Πᾶσι γὰρ ἡμῖν ὁ θάνατος ὀφείλεται καὶ τὰ ἑξῆς, ὁ Φανοκλῆς ἐν Ἔρωσιν ἢ Καλοῖς γράφει· Ἀλλὰ κτλ. 1. οὐδέ πως Paris.: οὐδέ ποτ' Klotzius.

Fr. 3. Plutarch. Morall. II, 671, B. Τὸν Ἄδωνιν οὐχ ἕτερον, ἀλλὰ Διόνυσον εἶναι νομίζουσι καὶ πολλὰ τῶν τελουμένων ἑκατέρῳ περὶ τὰς ἑορτὰς βεβαιοῖ τὸν λόγον· οἱ δὲ παιδικὰ τοῦ Διονύσου γεγονέναι. καὶ Φανοκλῆς, ἐρωτικὸς ἀνήρ, ὠδέ πως πεποίηκεν· Εἰδώς θεῖον κτλ. Emendavit Lenzius.

I. Ἀπόλλων.

1.

Παῖς Ἱπποκλῆος Φόβιος Νηληϊάδαο
ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ' ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
ἠλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης
Ἀσσησοῦ βασιλῆος ἑλεύσεται ἔκγονος Ἀνθεύς,
ὅρκι' ὁμηρείης πίστ' ἀποδωσόμενος,
πρωθήβης, ἔαρος θαλερώτερος· — οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ' Ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱόν, ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις —·
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρων·
καί ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι
πείσει· ὁ δὲ Ζῆνα ξείνιον αἰδόμενος

Alexandri Pleuronii. I. Ἀπόλλων. Fr. 1. Parthenius Erot. XIV. Ἔφασαν δέ τινες, οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι. Vaticinantem Apollinem fecit Alexander, ut Lycophron Cassandram, alios alii poetae, v. Mitscherlich. Horat. Carmm. I, 15. in Argumento. Eandem fabulam de amoribus Anthei et Cleoboeae narraverat Aristoteles et fabularum Milesiacarum auctores. 2. De forma ἰθαιγενής v. Lobeck. Phryn. 648. 5. Ἀσσησός πόλις Μιλησίας γῆς, Steph. Byz. s. v. Alii Assesum regem interpretantur, v. Wesseling. Herod. I, 19. recte, nam Parthenius: ἐκ δὲ Ἀλικαρνασσοῦ παῖς Ἀνθεύς, ἐκ βασιλείου γένους, ὡμήρευσε παρὰ Φοβίῳ. 6. Legrandius ἐπεβωσάμενος. Vulgatam explica: *Antheus fida pignora reddet tradita sibi a patre rege.* 9. θηλήσει Passovius: codex θελήσει. Actaeonem dicit, Melissi filium, cujus amore Archias unus ex Heraclidis quum exarsisset, Actaeoni autem recusanti vim adhibere conatus interfecisset puerum, profugus Corintho Syracusas colonias duxit, v. Plutarchi Amator. Narratt. 772, D sqq. Muelleri Dorr. I, 115 sq. 11. Est Epanaphora v. 5. ᾧ ἔπι Legrandius: codex ᾧ ἔνι. 12. λιθόλευστον ἔρων *amorem gravissimis poenis dignum.* 13. Il. Z, 160 sqq. Heynius ἀθέμιστα τελέσσαι.

σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα, θαλάσσῃ,
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος·
ἡ δ' ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεὺς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον,
μύθοις ἐξαπαφοῦσα· λόγος δέ οἱ ἔσσεται οὗτος·
γαυλός μοι χρύσεος· φρεῖατος ἐκ μυχάτου
νῦν ὅ γ' ἀνελκόμενος διὰ μὲν καλὸν ἠρίκεν οὖσον,
αὐτὸς δ' ἐς Νύμφας ὤχετ' ἐφυδριάδας·
πρὸς σὲ θεῶν, ἀλλ' εἴ μοι, ἐπεὶ καὶ παισὶν ἀκούω
ῥηϊδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο· τότ' ἂν μέγα φίλτατος εἴης·
ὧδε μὲν ἡ Φοβίου Νηλεΐδαο δάμαρ
φθέγξεθ'· ὁ δ' οὐ φρασθεὶς, ἀπὸ μὲν Λελεγήϊον εἶμα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμενῆς·
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
φρεῖατος· ἡ δ' ἐπὶ οἱ λιρὰ νοεῦσα γυνὴ
ἀμφοτέροις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·
καὶ τόδ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος

---

15. *ἐν Φοβίου*, *in aedibus Phobii*. *θαλάσσῃ* Legrandius. codex *θαλάσσης*. Brunckius *ἅλα ξυνεῶνα τραπέζης*. 23. *Ἀλλ'*, v. Theogn. 341 ibique notata. *παισίν* Piersonus: vulgo *πᾶσιν*. Vide Odyss. *Z*, 300. *πρὸς σὲ θεῶν*, v. de omisso verbo *ἱκετεύω* similiive Valcken. Eur. Phoen. 1659. Pors. Med. 325. 26. *Νειλιάδαο* codex: correxit Brunckius: Passovius *Νηλιάδαο*. 27. *Λελεγήϊον εἶμα*, h. e. *Μιλήσιον*. Nam Miletus et ipsa vocata *Λελεγηΐς*, v. Steph. Byz. s. v. *Μίλητος*. 30. Hesychius *λιρός· ἀναίσχυντος, ἀναιδής, θρασύς*. *Λιρος* scribit Choeroboscus Orthogr. Crameri Ann. Oxx. II, 235, 3. *Λῖρος· σημαίνει τὸν ἀναιδῆ, διὰ τοῦ ῑ· παρὰ τὸ λίαν ὁρᾶν· οἱ γὰρ ἀναιδεῖς λίαν ὁρῶσιν*. 32. Vulgo *καὶ τόθ'*. Passovius: »*Atque hunc* (siquidem *καὶ τόδ' ὁ μὲν ξ. π. ἀ.* legendum) *fatalem tumulum* (imum putei fundum) *premet hospitum longe infelicissimus*. Ac plerumque quidem terra sive tumulus mortuum premere dicitur: hic vero rem invertit poeta ingeniosus, suo usus jure: *ὀγκῶσαι* enim *ἠρίον* recte dicitur de eo, qui graviter cubat in tumulo, quem nunquam est relicturus: apud Latinos nihil est frequentius hoc verbi *premere* usu.« Jacobsius conjecerat: *καὶ τόδε μὲν ξείνων πολλὸν ἀποτμοτάτῳ* sqq. *hunc tumulum* (Cleoboea) *hospitum infelicissimo exstruet*. Sic etiam Hofmann-Peerlkamp. Bibl. Crit. Nov. II, 216. cll. inter alia Eur. Ion. 388. *ὀγκωθῇ τάφῳ*.

ἠρίον ὀγκώσει τὸ μεμορμένον· ἡ δ' ὑπὸ δειρὴν
ἀψαμένη σὺν τῷ βήσεται εἰς Ἀΐδην.

II. Μοῦσαι.

2.

Ἀλλ' ὄγε πευθόμενος πάγχυ Γραικοῖσι μέλεσθαι
Τιμόθεον κιθάρης ἴδμονα καὶ μελέων,
υἱὸν Θερσάνδροιο, * τὸν ἤνεσαν ἀνέρα σίγλων
χρυσείων ἱερὴν δὴ τότε χιλιάδα,
ὑμνῆσαι ταχίων Ὤπιν βλήτειραν ἐϊστῶν,
ἥ τ' ἐπὶ Κεγχρειῷ τίμιον οἶκον ἔχει.

et mox:

Μηδὲ θεᾶς προλίπῃ Λητωΐδος ἀγλαὰ ἔργα.

III. Ἄδηλον ἐλεγεῖον.

3.

Ὡς Ἀγαθοκλῆος λάσιαι φρένες ἤλυσαν ἔξω
πατρίδος· ἀρχαίων ἦν ὅδ' ἀνὴρ προγόνων,

II. Μοῦσαι. Fr. 2. Macrobius Saturnall. V, 22. *Alexander Aetolus poeta egregius in libro qui inscribitur* Musae, *refert, quanto studio populus Ephesius dedicato templo Dianae curaverit praemiis propositis, ut qui tunc erant poetae ingeniosissimi, in deam carmina diversa componerent. In his versibus Opis non comes Dianae, sed Diana ipsa vocata est. Loquitur autem, ut dixi, de populo Ephesio:* Ἀλλ' κτλ. De Timotheo Milesio v. Mueller Dorr. II, 324 sq. 1. Γραικοῖσι, h. e. Ἕλλησι, v. Niebuhr. Hist. Rom. I, 60. Wachsmuth. Antiqq. Gr. I, 310 sq. 3. Libri τὸν ἤνεσεν et 4. ἱερὴν δὴ τότε χιλιάδα. Conjectant τὸν ἤνεσαν ἀνέρα σίγλων χρ. ἱερῇ δὴ τότε χιλιάδι, vel κατήνεσαν ἀνέρι σ. χ. ἱερὴν δ. τ. χιλιάδα. De σίγλοις, nummate Persico, v. Xenoph. Anab. I, 5, 6. Ἱερὴν vocat χιλιάδα expensam in honorem deae. 5. Ὤπιν, v. Virg. Aen. XI, 532. ibique Servium. 6. Vulgo ἡ δ' ἐπὶ Κεγχρειῶν: emendavit Meinekius. De Cenchreo Ephesii agri fluvio v. Paus. VII, 5, 10. Strabo XIV, 639. Tacit. Annall. III, 61. 7. Legebátur θεῆς. ἀγλαά Brunckius: vulgo ἄκλεα.

III. Ἄδηλον. Fr. 3. Athen. XV, 699, B sq. Ὅτι ἦν τις περὶ αὐτοὺς (parodos) δόξα παρὰ τοῖς Σικελιώταις Ἀλέξαν-

εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
ξεῖνος· Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰὼν,
παιδομανεῖ σὺν ἔρωτί ποτ' ἦν ἴσον. ἔγραφε δ' ὠνὴρ
εὖ, παρ' Ὁμηρείην ἀγλαΐην ἐπέων,
πισσύγγους, ἢ φῶρας ἀναιδέας, ἤ τινα χλούνην,
φλοίων ἀνθηρῇ σὺν κακοδαιμονίῃ·
τοῖα Συρηκοσίοις καὶ ἔχων χάριν. ὃς δὲ Βοιωτοῦ
ἔκλυεν, Εὐβοίῳ τέρψεται οὐδ' ὀλίγον.

XVIII. Eratosthenis Cyrenaei.

Olymp. CXXXVII.

Suidas: Ἐρατοσθένης Ἀγλαοῦ, οἱ δὲ Ἀμβροσίου, Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιητοῦ. Μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου

ὅρος ὁ Αἰτωλὸς ὁ τραγῳδιοδιδάσκαλος ποιήσας; ἐλεγεῖον τρόπον τοῦτον δηλοῖ· Ὡς Ἀγαθοκλῆος κτλ. Sunt qui hos versus ab Alexandro tanquam epigramma sepulcrale Boeotii Siculi parodi conscriptos statuant: perperam. De Boeoto et Euboeo v. 10. memorato v. Weland. de Praecip. Carmm. Hom. Parodis 41 sqq. 1. Conjiciunt Ὃν δ' Ἀγαθ. vel ὅν γ' Ἀγ. — πατρίδος, ἄρχ. 4. Libri δεῖ σε πόσα χρονίων: emaculavit Casaubonus. Mimnermiana vivendi praecepta secutus dicitur Boeotus, cui nihil vita praeter χρυσέην Ἀφροδίτην fuisse videtur. 5. Libri πότην: emendavit Jacobsius. Alii πότης ἴσος. Mimnermi amores in mulieres aequasse Boeoti amores masculos dicere videtur poeta. δ' ὠνὴρ εὖ Schweighaeuserus: libri δ' ὠ 'νηρεῦ, δ' ὦ νηρεῦ, δ' ὢν ἠρεῦς. 6. παρ' Ὁμηρ., detorquens Homeri verba in res ludicras. 7. Sic Westonus: libri πισσυγάσι, φωρωσεν αἰδεας, φωρασε ναιδέας, φωρᾶσαν αἰδέας, φωρώσαν ἀειδέας. 8. φλύων Schweighaeuserus: φλοίων PVL: φλοίοντ' Capellmannus. At referenda verba ad ipsum parodum Homericis verbis magnificis venuste et vafre ad res vilissimas abusum. 9. Libri ὡς δὲ Βοιωτούς: emendavit Casaubonus et Jacobsius.

Eratosthenis Cyrenaei. Elegiaci carminis, quod Erigonae nomine inscripsit poeta — διὰ πάντων ἀμώμητον τὸ ποιημάτιον ait Longinus de Sublimi XXXIII, 5. — summam com-

Πτολεμαίου καὶ δεύτερος μέχρι τοῦ πέμπτου. Διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας, τοῖς ἄκροις ἐγγίσαντα, Βῆτα ἐπεκλήθη. Οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι πένταθλον ἐκάλεσαν. Ἐτέχθη δὲ ρκσ' Ὀλυμπιάδι καὶ ἐτελεύτησε π' ἐτῶν γεγονώς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον. Ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, Ἀστρονομίαν ἢ Καταστερισμούς, περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, περὶ ἀλυπίας, διαλόγους πολλοὺς καὶ γραμματικὰ συχνά.

Ἠριγόνη.

1.

Οἰνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας
ἔλθῃ· κυμαίνει δ' οἷα Λίβυσσαν ἄλα . . .

---

plectuntur Scholl. A Il. X, 29. *Ἰκάριος γένος μὲν ἦν Ἀθηναῖος, ἔσχε δὲ θυγατέρα μονογενῆ Ἠριγόνην, ᾗτις κύνα νήπιον ἔτρεφε. ξενίσας δέ ποτε ὁ Ἰκάριος τὸν Διόνυσον ἔλαβεν ἀπ' αὐτοῦ οἶνόν τε καὶ ἄμπελον κλῆμα. κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας περιέμει τὴν γῆν προφαίνων τὴν τοῦ Διονύσου χάριν, ἔχων σὺν ἑαυτῷ τὸν κύνα. γενόμενος δὲ ἐκτὸς τῆς πόλεως βουκόλοις οἶνον παρέσχεν· οἱ δὲ ἀθρόως ἐμφορησάμενοι, οἱ μὲν εἰς βαθὺν ὕπνον ἐτράπησαν, οἱ δὲ περιλειπόμενοι, νομίσαντες θανάσιμον εἶναι φάρμακον τὸ πόμα, πλήσσοντες ἐφόνευσαν τὸν Ἰκάριον. μεθ' ἡμέραν δὲ νηφάντων αὐτῶν, καταγνόντες ἑαυτῶν εἰς φυγὴν ἐτράπησαν. ὁ δὲ κύων ὑποστρέψας πρὸς τὴν Ἠριγόνην διὰ ὠρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γεγονότα. ἡ δὲ μαθοῦσα τἀληθὲς ἑαυτὴν ἀνήρτησε. νόσου δὲ ἐν Ἀθήναις γενομένης, κατὰ χρησμὸν Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσίαις ἐγείραιρον τιμαῖς· οἵ καὶ καταστερισθέντες Ἰκάριος μὲν Βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος· ὁ δὲ κύων τὴν αὐτὴν ὀνομασίαν ἔσχεν. ἡ ἱστορία παρὰ Ἐρατοσθένει.* Addunt Scholl. BD *ἱστορεῖ Ἐρατοσθένης ἐν τοῖς ἑαυτοῦ καταλόγοις*, v. Bernhardy Eratosthenicc. 113.

Fr. I. Athenaeus II, 36, F. *Κατὰ τὸν Κυρηναῖον ποιητὴν Οἶνος* πτλ. Stobaeus Floril. XVIII, 3. *ἐς ἄνδρα* Stobaeus. Pluralem praeter Athen. habet Clemens Alex. Paedag.

Βορέης ἠὲ Νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει
βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.

2.

Καὶ βαθὺν ἀκρήτῳ πνεύμονα τεγγόμενος.

3.

* *Εὖ τοι ὅσους φαίνεσκε Μοσυχλαίῃ φλογὶ ἶσον.*

4.

Ἄστυ δὲ δὴ Θορικοῦ καλὸν ἵκανεν ἔδος.

5.

Ἰκαρίου ποσὶ πρῶτα περὶ τράγον ὠρχήσαντο.

II, 183. Confer Panyasin Ath. 37, A. *Οἶνος γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ ἐσθλόν.*

Fr. 2. Macrob. Sat. VII, 15. *In pulmonem defluere potum nec poetae nobiles ignorant.* Eratosthenes: *Καὶ βαθὺν κτλ.* Vide Alcaei fr. XXVIII. Matth.

Fr. 3. Scholl. Nicandri Ther. 472. *Μόσυχλος δὲ ὄρος τῆς Λήμνου, ὡς Ἀντίμαχος* (fr. XXVI. Schellenberg.) — *καὶ Ἐρατοσθένης· Εὖ τοι ὅσοις φ. κτλ. Εὔϊος ὃς φ.* Bernhardy: nisi praestat *Εὔϊος ὃν φ.* Ceterum codex Gotting. *Ἐρ. φησί· Παμφαίνεσκε κτλ.* Scriptura incerta. De Mosychlo v. Buttmanni Mythologum.

Fr. 4. Steph. Byz. s. v. *Ἄστυ. Λέγεται ἄστυ καὶ ὁ δῆμος, ὡς Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ· Ἄστυ κτλ. ὅτι δὲ δῆμος Θορικὸς δῆλον ἐστί.* Codices εἴς τε δή, εἰ ὅτε δή: emendavit Bernhardy.

Fr. 5. Hyginus II, 4. *Dicitur hircus in vineam se conjecisse et quae ibi tenerrima folia videret, decerpsisse, quo facto Icarium irato animo tulisse eumque interfecisse ac vento plenum praeligasse et in medium projecisse suosque sodales circum eum saltare coegisse.* Itaque *Eratosthenes* ait: *Ἰκαρίου κτλ.* Vide Welckeri Append. Trilog. Aeschyl. 222 sqq.

XIX. Parthenii Nicaeensis.

Floruit sub Augusto.

Suidas: *Παρθένιος, Ἡρακλείδου καὶ Εὐδώρας· Ἕρμιππος δὲ Τήθας φησί· Νικαεὺς ἢ Μυρλεανός, ἐλεγειοποιὸς καὶ μέτρων διαφόρων ποιητής. Οὗτος ἐλήφθη ὑπὸ Κίννα λάφυρον, ὅτε Μιθριδάτην Ῥωμαῖοι κατεπολέμησαν· εἶτα ἠφείθη διὰ τὴν παίδευσιν καὶ ἐβίω μέχρι Τιβερίου τοῦ Καίσαρος. Ἔγραψε δὲ ἐλεγεῖα εἰς Ἀφροδίτην, Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς, Ἀρήτης ἐγκώμιον ἐν τρισὶ βιβλίοις καὶ ἄλλα πολλά.* **Vide Clinton. Fastt. Hell. III, 548.**

1.

Ἀμυσχρὸν οὔνομ' ἔσσετ' Ἀρχελαΐδος.

2.

Ἴλαος ταύτην δέχνυσο πυρκαΐην.

3.

Ὅστις ἐπ' ἀνθρώπους ἔξυσεν αἰγανέην.

4.

Ἀμφοτέροις ἐπιβὰς ἅρπυς ἐληΐσατο.

Parthenii Nicaeensis Fr. 1. Hephaestion. 9. Gaisf. *Παρθένιος ἐπικήδειον εἰς Ἀρχελαΐδα γράφων ἐλεγειακὸν, τὸν τελευταῖον μόνον στίχον ἀντὶ ἐλεγείου ἰαμβικὸν ἐποίησεν, ἐν ᾧ τὸ ὄνομα ἐρεῖν ἔμελλεν· Ἀμυσχρὸν κτλ.* Ἀμυσχρὸν Hesychio teste est *καθαρόν, ἁγνόν, ὁλόχροον.*

Fr. 2. Choeroboscus Bekkeri Ann. 1393. *Ὅτι τὸ Ἴλαος ἐκτείνει τὸ ᾱ, ἐδήλωσε Παρθένιος ἐν τῷ Βίαντι εἰπών· Ἴλαος κτλ. Ἔστι δὲ ἐλεγεῖον.* De forma *δέχνυσο* Buttmann. Gr. Max. II, 102.

Fr. 3. Schol. V. Homer. Il. *I*, 446. *Παρθένιος ἐν Βίαντι συνέστειλεν* (verbum *ξύειν*)· *Ὅστις κτλ.*

Fr. 4. Etym. M. 148, 34. *Ἅρπυς ὁ ἔρως, ὡς παρὰ Παρθενίῳ ἐν Κρηναγόρᾳ· Ἀμφοτέροις κτλ. παρὲ*

5.

Μάρτυρα δ' ἄμμιν
τὴν ἐπὶ Γαδείρᾳ λεῖπε θεμοσύνην,
ἀρχαίου Βριάρηο ἀπ' οὔνομα τὸ πρὶν ἀράξας.

6.

Παρθένος, ἣ Κιλίκων εἶχεν ἀνακτορίην,
ἀγχίγαμος δ' ἔπελεν, καθαρῷ δ' ἐπεμαίνετο Κύδνῳ,
Κύπριδος ἐξ ἀδύτων πυρσὸν ἀναψαμένη,
εἰςόκε μιν Κύπρις πηγὴν θέτο, μῖξε δ' ἔρωτι
Κύδνου καὶ Νύμφης ὑδατόεντα γάμον.

τὸ ἁρπάζειν τὰς φρένας. Vide de Crinagora carmine, poetae cognomini dedicato, Meinekium Euphor. 24. et de voce ἅρπις aliisque a Parthenio novatis eundem 48., ubi Parthenio expressum esse illud Propertii statuit: *Et caput impositis pressit Amor pedibus.*

Fr. 5. Scholl. Dionys. Perieg. 456. Ἀπὸ τῆς ἀγριελαίου Φοίνικες ὠνόμαζον Γάδειρα, καὶ ἐνταῦθά εἰσιν αἱ στῆλαι τοῦ Ἡρακλέος. — Ὁ δὲ Παρθένιος Βριάρεω τὰς στήλας φησὶν εἶναι· *Μάρτυρα δ' ἄμμιν τὴν ἐπὶ Γάδειρα λίπε θυμὸν ἀρχαίου Βριάρεω ἀπ' οὔνομα τὸ πρὶν ἄρξας.* Quae eximie sanavit Hermannus Zimmermann. Diar. Philoll. 1836, 66. p. 531. Consentit Aristoteles Aeliani V. H. V, 3. Ἀριστοτέλης τὰς νῦν Ἡρακλείους στήλας καλουμένας, πρὶν ἢ κληθῆναι τοῦτο, φησὶ Βριάρεω καλεῖσθαι αὐτάς. Bergkius in Zimmermann. Diar. Philoll. 1837, 55. p. 456. κάλλιπε θεσμοσύνην. Idem tertio versu, ubi Hermanno *Βριαρεῶο* dedit, *Βριάρηο* scribit cll. Et. M. 213, 23. *Βριάρηο: οἷον Βριάρηο κόρα· ἔστι Βριάρηος ἡ εὐθεῖα ὡς μονῆρες, ἡ γενικὴ Βριαρήου, καὶ Θετταλικὴ γενικὴ Βριαρήοιο καὶ συγκοπῇ Βριάρηο.* Illud simile est formis *Πετεῶο, Πηνελέω, Ταλαῶο*, Buttm. Gr. Max. I, 158.

Fr. 6. Eustathius in Iliad. 327, 35. (248, 39.) *Καὶ κώμη Κιλικίας ἐστὶ Γλαφύραι καλουμένη, ἀπέχουσα Ταρσοῦ τριάκοντα σταδίους πρὸς δύσιν, ἐν ᾗ πηγὴ ἀπὸ ῥωγάδος καταῤῥέουσα καὶ συνιοῦσα τῷ εἰς Ταρσὸν εἰςβάλλοντι ποταμῷ. περὶ ἧς Παρθένιος γράφων ἄλλα τε λέγει καὶ ὅτι παρθένος Κιλίκων ἀνακτορίην ἔχουσα ἀγχίγαμος πέλε κτλ.* Conformavit Hermannus apud Zimmermann. l. c.

Addenda et Emendanda.

Pag. 2. Rectius post v. 17. lacunam statues.
— 4. In fine v. 8. dele punctum et v. 9. corrige *μνθεῖσθαί τε*. In vulgata scriptura ex vv. *ἄρχειν βουλῆς* eliciendum esset *ἀποφαίνειν βουλήν*.
— Ibid. In nota ad v. 9. lege 9—12.
— 7. Elegiae octavae versu 1. veram scripturam confirmat Personatus Plutarchus de Nobil. II, 388. Hutten. *Ὁ Τύρταιος τοὺς αὐτοῦ στρατιώτας εἰς πόλεμον παρακαλούμενος γενεὰς* (codex *γενεαὶ*: lege *γενεὰν*) *Ἡρακλείους ἀνιχνεύειν φησὶν αὐτούς*. Ibidem v. 6. Ursinus *αὐγαῖσιν ἥρας ἡλ.* exhibet.
— 12. Mimnermi 1, 4. *εἰ ἥβης ἄνθεα* habet etiam Stobaei codex B. Ursinus duobus prioribus versibus diremptis, tertio omisso orditur *Οἷσι' ἥβης ἄνθεα γ', ἀ.*
— 13. In nott. Fr. 3, 1. lege: Brunckius *ἐπεί*.
— 14. Eleg. 5, 5. in mentem venit *ὥσπερ ἔαρ*.
— 16. Eleg. 12. ad *ἐλεγεῖα εἰς τὴν μάχην τὴν τῶν Σμυρναίων πρὸς Γύγην τε καὶ Λυδοὺς* (Pausanias IX, 29.) referenda erat. Nam neque Andraemonis Pylii aetate Ionibus cum Lydis erat bellum nec Andraemonis testes virtutis excitari poterant aequales Mimnermi, ipso natu majores, v. versum 2. 3.
— Ibid. El. 13, 2. lege *οὐδεμία*.
— 18. In nota El. 1, fr. 1. corrige: Plutarchus Solon. VIII. Ibidem dele vv.: Demosth. *περὶ παραπρεσβ.* 201. Rsk.
— 20. Versu 29. video legendum esse: *εἰ καί τις φεύγων ἐν μυχῷ ἢ θαλάμου*.
— 23. In nota Fr. 9, 4. corrige: *ἴσχετε* Bryanus.
— 26. Versu 46. corrige *οὐδεμίαν*.
— 27. Versu 69. corrige *περὶ πάντα δίδωσι*.
— 29. In nota Fr. 14, 6. non codicem Mutinensem debebam appellare: Bekkerus ex Solone reposuit *ἁρμοδία*. Verba illa *σὺν δ' ὥρῃ γ. ἁρμ.* explicanda ut Homerica Il. *Z*, 149. *ἔαρος δ' ἐπιγίγνεται ὥρη*.
— 32. Fr. 24, 2. corrige: *τυραννίδος δὲ καὶ β.*
— 35. Fr. 29, 6. *ἐστράφην λύκος*. Mea haec omnia mea manu describentis errore *κύων* irrepsit.
— 37. Fr. 3, 4. Apud Stobaeum est *εὖφ. ἡδὲ ταχ.*
— 38. Fr. 9. Importuna Xylandri hariolatio Brunckium, Gaisfordium, Gerhardum Lectt. Apoll. 137., nos elusit. Scribe cum libris Plutarchi:

χρὴ παῖδ' ἔτ' ἐόντα
καλὰ διδάσκειν ἔργα.

Pag. 38. Fr. 11, 2. Sic eadem exhibet Eusebius Praep. Evang. XIII, 687., ubi Vigeri margo: ἴσως ἐπερχόμενον. Rectius scribes: οἱ μὲν ἐπερχομένου κακοῦ ἀνέρας ἐκλύσασθαι.

Accipe temere praetermissum tetrastichon Phocylidis in Anth. Pal. X, 117.

Γνήσιός εἰμι φίλος καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι·
οἰδίνα θωπεύω πρὸς ὑπόκρισιν· οὔς δ' ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

— 44. vers. 15 sqq. Cum his mire conveniunt quae ex Solone refert Diodorus Excc. Vat. 16, 28. Ὅτι ὁ Σόλων ἠγεῖτο τοὺς μὲν πύκτας καὶ σταδιεῖς καὶ τοὺς ἄλλους ἀθλητὰς μηδὲν ἀξιόλογον συμβάλλεσθαι ταῖς πόλεσι πρὸς σωτηρίαν, τοὺς δὲ φρονήσει καὶ ἀρετῇ διαφέροντας μόνους δύνασθαι τὰς πατρίδας ἐν τοῖς κινδύνοις διαφυλάττειν.

— Ibid. fr. 3, 5. Vide an loco corrupto medela nascatur ex Aristeae versu in Arimaspeis Tzetz. Chill. VII, 687. Ἰσοηδοὶ χαίτῃσιν ἀγαλλόμενοι ταναῇσιν.

— 129. Fr. 7, 2. μείνωμεν praeter Aldum praestant Scholl. Veneta.

— 137. De poesi Critiae recte judicat Naekius Choerilo 215. In Dindorfii exemplari Scholl. Aristidis 420, 3. Ὦ παῖδες Ἀρίστωνος πλεινοῦ πτλ. scribitur, sed ut Oxoniensis tamen codex pariter atque Frommelii libri ignoret Ἀρίστωνος.

DELECTUS

POESIS GRAECORUM

ELEGIACAE, IAMBICAE, MELICAE.

EDIDIT

F. G. SCHNEIDEWIN.

SECTIO II et III.
POETAE IAMBICI ET MELICI.

GOTTINGAE
APUD VANDENHOECK ET RUPRECHT.
MDCCCXXXIX.

DELECTUS

POETARUM

IAMBICORUM ET MELICORUM

GRAECORUM.

EDIDIT

F. G. SCHNEIDEWIN.

GOTTINGAE

APUD VANDENHOECK ET RUPRECHT.

MDCCCXXXIX.

II. INDEX POETARUM IAMBICORUM.

Pag.

I. Archilochi Parii Iambi 171
II. Simonidis Amorgini 196
III. Hipponactis Ephesii 207
IV. Ananii 223
V. Aeschrionis Samii 224
VI. Phoenicis Colophonii 226
VII. Parmenonis Byzantii 229
VIII. Hermiae Curiensis 230
IX. Critiae Chii 230
X. Herodis 231

III. POETARUM MELICORUM CARMINA.

I. Terpandri Antissaei 237
II. Alcmanis Mesoatae 238
III. Arionis Methymnaei 258
IV. Biantis Prienensis 260
V. Pittaci Mitylenaei 260
VI. Chilonis Lacedaemonii 261
VII. Alcaei Mitylenaei 262
VIII. Sapphonis Mitylenaeae 289
IX. Erinnae Lesbiae 323
X. Stesichori Himerensis 325
XI. Ibyci Rhegini 336
XII. Anacreontis Teii 344
XIII. Telesillae Argivae 374
XIV. Lasi Hermionensis 374

XV. Cydiae Hermionensis 374
XVI. Simonidis Cei 375
XVII. Timocreontis Rhodii 417
XVIII. Corinnae Tanagraeae 418
XIX. Diagorae Melii 419
XX. Praxillae Sicyoniae 419
XXI. Bacchylidis Cei 419
XXII. Ariphronis Sicyonii Paean 419
XXIII. Euripidis Epinicium Alcibiadi 419
XXIV. Aristotelis Stagiritae carmen 419
XXV. Ithyphallus in Demetrium Poliorcetem 419
XXVI. Melinnus Locrensis 419
XXVII. Scolia et cantilenae populares 420

DAHLMANNO. GERVINO.

GRIMMIIS. F. RANKIO.

F. TH. WELCKERO.

S.

Τρεῖν μ' οὐκ ἐᾷ Παλλὰς Ἀθήνη.

PRAEFATIO.

Magno hiatu saeculorum ab Aeschylo distinguntur et Pindaro Homerus Hesiodusque. Nam qui poetae medium inter utrosque locum explevere, eorum quum memoriam constat multum esse obscuratam, tum carmina injuria temporum intercidisse plerasque omnia. Adumbratio autem historiae Graecarum literarum quanquam illis in saeculis, ut in obscuris et a communi hominum notitia semotioribus, commorari gestit declamandoque exsultat et exuberat, tantum abest, ut integrorum corporum interitum narratione accurata et sub sensus subjecta elevet, ut fortius excitare soleat ipsarum reliquiarum desiderium. Quemvis enim puto paullo erectioris indolis ita sentire expertum, ut nihil magis necessarium esse existimet, quam saeculorum illorum monumenta explorasse, si quis vel recentiorum poetu-

PRAEFATIO.

Magno hiatu saeculorum ab Aeschylo distimentur et Pindaro, Homerus Hesiodusque. Nam qui poetae medium inter utrosque locum explevere, eorum quum memoriam constat multum esse obscuratam, tum carmina injuria temporum intercidisse plerasque omnia. Adumbratio autem historiae Graecarum literarum quanquam illis in saeculis, ut in obscuris et a communi hominum notitia semotioribus, commorari gestit declamandoque exsultat et exuberat, tantum abest, ut integrorum corporum interitum narratione accurata et sub sensus subjecta elevet, at fortius excitare soleat ipsarum reliquiarum desiderium. Quemvis enim puto paullo erectioris indolis ita sentire expertum, ut nihil magis necessarium esse existimet, quam saeculorum illorum monumenta explorasse, si quis vel recentiorum poeta-

rum virtutes intelligenter pensitare vel cognoscere gradus eos volet, quibus ad Aeschyli et Pindari praestantiam paullatim ascensum sit. Plerique quidem incerto quodam rumore ambiguisque laudibus illorum qui interiere poetarum excellentiam tanquam e longinquo venerantur: accuratiore cognitione et quae ex gnavo reliquiarum ipsarum studio efflorescat, carent. Sunt qui illorum poetarum *fragmenta* procul a se amoveant, in integris demum scriptoribus habitare, *fragmenta* despicere pulchrum arbitrati. Illis studui gratum facere: hos ego ab instituto meo procul amoveo.

Nec defuere ante nos qui similia consilia agitarent particulasque illarum reliquiarum decerptas proponerent, quo damnum illud literis Graecis importatum quodammodo sarciretur. Verum illa opera Mich. Neandri, H. Stephani, Fulv. Ursini, Ric. Brunckii aliorum vel dudum exolevit vetustate perierunt et ex hominum manibus evanuere, vel non satisfecerunt doctiorum hominum desideriis, velut Gaisfordii et Gilesii Britannorum poetae minores, Mehlhornii nostratis Anthologia lyrica. Nec id mirum. Quippe multorum industriam opus erat consumi in colligendis et curatissime pertractandis singulis singulorum poetarum fragmentis, antequam ex omni silva selecta et modica supellectile exornata in libellum continuo filo deductum derivari possent ab uno. Illud nunc factum haud exiguo antiquarum literarum emolumento constat. Neque tamen illis doctorum studiis provisum est,

ut reliquiarum illarum lectio increbesceret eruditorumque hominum et qui hoc agerent claustris perfractis in Academiarum et Gymnasiorum auditoriis frequentaretur. Multi enim scripsere in eum finem, ut lacera poetarum membra vel exquisitae, at molestae tamen, vel de trivio haustae eruditionis undis immergerent: paucissimi, ut quantum posset fieri, emendatiora fragmenta et necessariis enarrationibus explicatiora ad lectitandum ultro allicerent; pauciores denique, ut singulorum poetarum virtutes expenderentur et quemnam in omni literatura Graeca locum obtinuissent clara collustratum luce patesceret. Verum, ut omnes munere suo functi sint optime: quotusquisque est, qui tam vel opibus abundet et empturiat, vel beatus otio luxurietur, qui illa volumina singula in suum sibi usum parare et quae poetarum sunt, quae domo attulere editores, aequo animo excutere sustineat?

Institui igitur hunc delectum sat, opinor, illum vendibilem, ita, ut singula poesis Graecae genera dispescerem, Elegiam, Iambos, Melica carmina; et hanc mihi scriberem legem, ut nisi qua aliud suaderent — interdum enim deflectere visum est — singuli poetae eo quo vixissent ordine sese exciperent. Singulis praefixi, quo reliquiarum ipsarum explicationi viam munirem, Suidae aliorumve Grammaticorum narrationes: raro, ut in Theogonide, ad uberius disserendum provectus sum. Locos poetarum selegi eos, qui mihi in aliquam tandem partem viderentur memorabiles esse et utilitatis delecta-

temporum procellis et fortunarum nostrarum ruinis nonnisi ex sancto Musarum contubernio eam animi tranquillitatem et fortitudinem reportes, quae te vel magnis variisque curis anxium non sinat labascere et ad speranda meliora traducat.

Scribebam in Academia Georgia Augusta ipsis Kal. Novembr. MDCCCXXXVIII.

II.

POETARUM IAMBICORUM RELIQUIAE.

I. Archilochi Parii.

Olymp. XV—XXX.

Suidas ex Aeliani, ut suspicantur, *περὶ προνοίας* **libro:** *Ἀρχίλοχος. Ὅτι τῶν σπουδαίων οὐδὲ θανόντων οἱ θεοὶ λήθην τίθενται· Ἀρχίλοχον γοῦν ποιητὴν γενναῖον τἆλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακορρῆμον ἀφέλοι καὶ οἱονεὶ κηλῖδα ἀπορρύψαι, ὁ Πύθιος ἠλέει, τεθνεῶτα καὶ ταῦτα ἐν τῷ πολέμῳ, ἔνθα δήπου ξυνὸς Ἐνυάλιος. καὶ ὅτε ἦκεν ὁ ἀποκτείνας αὐτόν, Καλλώνδας μὲν ὄνομα, Κόραξ δὲ ἐπώνυμον,* **(Wyttenbach. Plut. de S. N. V. 560, E.)** *τοῦ θεοῦ δεόμενος ὑπὲρ ὧν ἐδεῖτο, οὐ προσήκατο αὐτὸν ἡ Πυθία ὡς ἐναγῆ, ἀλλὰ ταῦτα δήπου τὰ θρυλούμενα ἀνεῖπεν. (Μουσάων θεράποντα κατέκτανες· ἔξιθι νηοῦ.) ὁ δὲ ἄρα προεβάλλετο τὰς τοῦ πολέμου τύχας καὶ ἔλεγεν, ὡς ἦκεν εἰς ἀμφίβολον ἢ δρᾶσαι ἢ παθεῖν ὅσα ἔπραξε, καὶ ἠξίου μὴ ἀπεχθάνεσθαι τῷ θεῷ, εἰ τῷ ἑαυτοῦ δαίμονι ζῇ, καὶ ἐπηρᾶτο, ὅτι μὴ τέθνηκε μᾶλλον ἢ ἀπέκτεινε. καὶ ταῦτα ὁ θεὸς οἰκτείρει καὶ αὐτὸν κελεύει ἰέναι εἰς Ταίναρον, ἔνθα Τέττιξ τέθαπται, καὶ μειλίξασθαι τὴν τοῦ Τηλεσικλείου παιδὸς ψυχὴν καὶ πρᾶϋναι χοαῖς. οἷς ἐπείσθη· καὶ τῆς μήνιδος τῆς ἐκ τοῦ θεοῦ ἐξάντης ἐγένετο. Καὶ παροιμία· Ἀρχίλοχον πατεῖς ἐπὶ τῶν κακηγόρων καὶ λοιδόρων.*

I. Ἐλεγεῖαι.

1.

Ἀμφότερον, θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

2.

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος.

3.

Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται οὐδὲ θαμειαὶ
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
ἐν πεδίῳ· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον·
ταύτης γὰρ κεῖνοι δαίμονες εἰσὶ μάχης
δεσπόται Εὐβοίης δουρικλυτοί.

Archilochi Parii Elegiarum fr. 1. Athen. XIV, 627, C. Ἀρχίλοχος ἀγαθὸς ὢν ποιητὴς πρῶτον ἐκαυχήσατο τὸ δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων, δεύτερον δ' ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων· Εἰμὶ δ' ἐγὼ θεράπων κτλ. Recepi scripturam Plutarchi Phoc. VII. et Themistii Orat. XV, 185, B. Vide Il. Δ, 60. Π, 418. Ν, 166. Theogn. 980. Pind. Ol. VI, 17. alios. Θεοῖο Plut. Them. Illud verum propter v. Θεράπων. Homericus Margites: Μουσάων θεράπων καὶ ἑκηβόλου Ἀπόλλωνος, v. Naekii Choeril. 106.

Fr. 2. Athen. I, 30, F. Ἀρχίλοχος τὸν Νάξιον οἶνον τῷ νέκταρι παραβάλλει, ὃς καί πού φησιν· Ἐν κτλ. Omnia, ait, mihi est δόρυ. Vide Hybriae Cretensis Scol. Ath. XV, 695, F. De vino Ismarico Odyss. I, 194 sqq.

Fr. 3. Plutarchus Theseo V. Οἱ Ἄβαντες ἐκείραντο πρῶτοι τῆς κεφαλῆς τὰ πρόσθεν μόνον ὄντες πολεμικοὶ καὶ ἀγχέμαχοι καὶ μάλιστα δὴ πάντων εἰς χεῖρας ὠθεῖσθαι τοῖς ἐναντίοις μεμαθηκότες, ὡς μαρτυρεῖ καὶ Ἀρχίλοχος ἐν τούτοις. De Abantibus ὄπιθεν κομόωσι v. Il. Β, 542. cum Scholiis. 4. Hesychius δαίμων· δαήμων. Hesiod. Opp. 314. Homero αἴμων.

4.

Ἀλλ' ἄγε, σὺν κώθωνι θοῆς διὰ σέλματα νηὸς
φοίτα καὶ κοίλων πώματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

5.

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων·
αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος· ἀσπὶς ἐκείνη
ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

6.

Ξείνια δυσμενέσιν λυγρὰ χαριζόμενος.

Fr. 4. Athen. XI, 483, D. *Μνημονεύει τοῦ κώθωνος καὶ Ἀρχίλοχος ἐν ἐλεγείοις ὡς ποτηρίου, οὕτως· Ἀλλ' ἄγε κτλ.* Allegoriam odoratur Osannus Symboll. Hist. Litt. Grr. I, 43.

Fr. 5. Plutarchus Morall. II, 239, B. *Ἀρχίλοχον τὸν ποιητὴν ἐν Λακεδαίμονι γενόμενον αὐτῆς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν τὰ ὅπλα, ἢ ἀποθανεῖν.* Afferunt alii, ut Aristoph. Pac. 1298. prius distichon, tertium versum usque ad v. *τέλος* Sextus Empir. Pyrrhon. Hypotyp. III, 24, 181. Scholia Aristophanis: *Οὗτος ὁ Ἀρχίλοχος ἐξῆλθεν εἰς πόλεμον ἐν τῇ πρὸς Σαΐους μάχῃ (ἔστι δὲ ἔθνος Θράκης), καὶ φοβηθεὶς ἔφυγε, ῥίψας ἑαυτοῦ τὰ ὅπλα· αὐτὸν οὖν διαβάλλων λέγει.* De Saiis, gente Thracica, v. Strabo X, 457. XII, 549. 4. Vulgo *ἐξαῦθις:* correxit Schaeferus. Ceterum si propter haec disticha Lacedaemonii urbe expulerunt Archilochum — nec credo expulisse, qui vix unquam Spartam viderit oculis —, qui *οὐκ ἐθέλων* scutum reliquisset, injuria expulerunt.

Fr. 6. Scholl. Soph. El. 95. *Ξένια Ἄρεως τραύματα καὶ φόνοι· Καὶ Ἀρχίλοχος· Ξείνια κτλ.* Vide fr. VIII, 11. Musaeus Anth. Pal. VI, 9. *Ἰοὺς πτερόεντας ὀλοὰ ξείνια δυσμενέσιν.* Eur. Hel. 479.

7.

Αἰσιμίδη, δήμου μὲν ἐπίῤῥησιν μελεδαίνων
οὐδεὶς ἂν μάλα πόλλ' ἰμερόεντα πάθοι.

8.

Κήδεα μὲν στονόεντα, Περίκλεες, οὔτε τις ἀστῶν
μεμφόμενος θαλίης τέρψεται οὐδὲ πόλις·
τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν, οἰδαλέους δ' ἀμφ' ὀδύνης ἔχομεν
πνεύμονας· ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν,
ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν,
φάρμακον· ἄλλοτε δ' ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν,
ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχιστα
τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι.

Κρύπτωμεν δ' ἀνιηρὰ Ποσειδάωνος ἄνακτος
δῶρα,

Fr. 7. Orio Thebanus 55, 22. Ἐπίῤῥησις ὁ ψόγος καὶ ἡ κακηγορία, ἔνθεν λοιπὸν καὶ ἐπίῤῥητος. Ἀρχίλοχος ἐν ἐλεγείοις· Αἰσιμίδη, δηλοῦμεν κτλ. Correxit Elmsleius. Ruhnkenius δηλήμον' ἐπίῤῥησιν. Possis δειλοῦ μὲν ἐπ.

Fr. 8. Stobaeus Floril. CXXIV, 30. Ἀρχιλόχου. Deplorat poeta miseriam civium quorundam suorum naufragio absumptorum, in quibus maritum sororis ipsius fuisse testatur Plutarchus, v. frr. sqq., sed ita deplorat, ut ad tranquillitatem animi et hilaritatem revocare nitatur. Ipsum naufragium poeta, si Longino credimus, De Sublim. X, 6., adumbraverat tam sapienter et modice, ut οὐδὲν φλοιώδες ἢ ἄσεμνον ἢ σχολικὸν immiscuisset. 2. Malit quis τέρπεται. Vulgo οὔτε. Illud Gaisfordii Stobaeus. Intellige: *Graves aerumnas conquerens nec civium quisquam nec universa civitas festivitatibus delectabitur.* 4. Ὀδύνης Gaisfordius; vulgo ὀδύνη. Sed Voss. Ars. ἀμφ' ὀδύνη ἴσχομεν: Trinc. ἀμφ' ὀδύνη σίσχομεν: pessime B ἴσχομεν ἀμφ' ὀδύνη. 7. τόδε, *hocce quo nos nunc conflictamur* ἀνήκεστον κακόν. Vide Solonis Eleg. fr. XI, 75. 11. 12. Accedere jussi ex Scholl. Aesch. Prom. 69. Τὸ δωρεὰν ἐπὶ συμφορᾶς λαμβάνεται καὶ ἐπὶ κακοῦ, ὡς καὶ Ἀρχίλοχος. Κρύπτομεν ἀν.

9.

Πολλὰ δ' ἐϋπλοκάμου, πολιῆς ἁλὸς ἐν πελάγεσσιν
θεσσάμενοι γλυκερὸν νόστον . . . . .

10.

Εἰ κείνου κεφαλὴν καὶ χαρίεντα μέλεα
Ἥφαιστος καθαροῖσιν ἐν εἴμασιν ἀμφεπονήθη.

11.

Οὔτε τι γὰρ κλείων ἰήσομαι οὔτε κάκιον
θήσω τερπωλὰς καὶ θαλίας ἑρίπων.

Ποσειδῶνος ἄν. δ. Quae emendatius scripta Elegiis accensenda erant. Libri exhibent *κρύπτομεν ἀνιαρὰ Ποσειδῶνος* vel *κρυπτῶμεν ἀναδρὰ Ποσειδὼν ἄνακτα δ.*, vel *κρυπτῶμεν ἀνϊδρά*. Hermannus *Κρυπτομένοις* volebat. Frustra. Seipsum quoque ad condenda *maesta Neptuni munera* (v. ad fr. 6.) excitat: si additum esset, *cui* maesta essent *Ποσειδάωνος δῶρα, τὸ γλυκύπικρον* dictionis eximie attereretur. Denique *κρυπτομένοις*, quod ne in librorum quidem erroribus satis praesidii habet, *κρύπτουσι* debebat esse.

Fr. 9. Scholl. Ap. Rh. I, 824. *Θεσσάμενοι, ἐξ αἰτήσεως ἀναλαβόντες, αἰτήσαντες· θέσθαι* (l. *θέσσασθαι*) *γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. Καὶ Ἀρχίλοχος· Πολλὰ δ' κτλ.* Videtur ex descriptione naufragii esse. Vox *ἐϋπλοκάμου*, modo sana est, referebatur ad numen marinum nescio quod a nautis invocatum. Thierschius *ἐϋπλοΐμοις* volebat.

Fr. 10. Plutarch. Morall. II, 23, B. *Ἀρχίλοχος ὅταν τὸν ἄνδρα τῆς ἀδελφῆς ἠφανισμένον ἐν θαλάττῃ καὶ μὴ τυχόντα νομίμου ταφῆς λέγῃ θρηνῶν μετριώτερον ἂν τὴν συμφορὰν ἐνεγκεῖν, Εἰ κείνου κτλ., τὸ πῦρ οὕτως, οὐ τὸν θεὸν προσηγόρευσεν.*

Fr. 11. Plutarch. Morall. II, 33, A. B. *Ὁ Ἀρχίλοχος οὐκ ἐπαινεῖται λυπούμενος μὲν ἐπὶ τῷ ἀνδρὶ τῆς ἀδελφῆς διεφθαρμένῳ κατὰ θάλασσαν, οἴνῳ δὲ καὶ παιδιᾷ πρὸς τὴν λύπην μάχεσθαι διανοούμενος. αἰτίαν μέντοι λόγον ἔχουσαν εἴρηκεν· Οὔτε κτλ.*

12.

*Πάντα πάνος τεύχει * βροτοῖς μελέτη τε βροτείη.*

13.

Πάντα τύχη καὶ μοῖρα, Περίκλεες, ἀνδρὶ δίδωσιν.

II. *Ἐπιγράμματα.*

14.

Ὑψηλοὺς Μεγάτιμον Ἀριστοφάωντα τε Νάξου
κίονας, ὦ μεγάλη γαῖ', ὑπένερθεν ἔχεις.

15.

Ἀλκιβίη πλοκάμων ἱερὴν ἀνέθηκε καλύπτρην
Ἥρῃ, κουριδίων εὖτ' ἐκύρησε γάμων.

16.

Συκέη πετραίη πολλὰς βόσκουσα κορώνας
εὐήθης ξείνων δέκτρια Πασιφάη.

Fr. 12. Ioannes Siceliota, Walzii VI, 96. et Scholiasta Hermog. V, 441. Uterque *τεύχει βροτοῖς*: codex Venetus Scholiastae *θνητοῖς*, quae vulgata scriptura est: Aldus *τεύχει δὲ βροτοῖς μελ. δὲ βρ.* Prius *τε* omittunt tres libri, iidem *τε βρ.* scribunt. Mihi *βροτοῖς* propter sequens *βροτείη* flagitari videtur. Scripserat Archilochus, nisi fallor, *τεύχῃσι* vel *τεύχουσι βροτοῖς*. An *τεύχει βροτέοις*? De sententia v. Ruhnken. in Xenoph. Memm. 301. Schneider.

Fr. 13. Stob. Eclogg. Phys. VII, 3. Poetae nomen non comparet. Propter Periclis mentionem, de quo v. fr. 8., adscripserunt Archilocho. Nobis haec videtur fragmenti 12. parodia esse.

II. *Ἐπιγράμματα.* Ep. 14. Anth. Pal. VII, 441. *Εἰς Μεγάτιμον καὶ Ἀριστοφῶντα Ναξίους.* Codex *γᾶ*: correxit Jacobsius.

Epigr. 15. Anth. Pal. VI, 133. *Ἀρχιλόχου.*

Epigr. 16. Athen. XIII, 594, B sqq. *Μαρτυρεῖ καὶ Ἀρχίλοχος περὶ αὐτῆς* (*Πλάγγονος* meretricis, quae ab Ionibus *Πασιφίλη* vocitata est) *ἐν τούτοις· Συκῆ κτλ.* Est autoschediasma poetae Pasiphilam sugillantis.

III. Ἴαμβοι.

17.

Οὐ γάρ τι καλὸς χῶρος οὔδ' ἐπίμερος
οὐδ' ἐρατὸς, οἷος ἀμφὶ Σίριος ῥοάς.

18.

Ἥδε δ' ὥστ' ὄνου ῥάχις
ἔστηκεν ὕλης ἀγρίας ἐπιστεφής.

19.

Κλαίω δὲ Θάσσον, οὗ τὰ Μαγνήτων κακά.

III. Ἴαμβοι. Fr. 17. Athen. XII, 523, D. Ἀρχίλοχος ὁ ποιητὴς ὑπερτεθαύμακε τὴν χώραν τῶν Σιριτῶν διὰ τὴν εὐδαιμονίαν· περὶ γοῦν τῆς Θάσου λέγων ὡς ἥσσονος φησίν· Οὐ γάρ κτλ. ὠνομάσθη δ' ἡ Σῖρις, ὡς Ἀρχίλοχος φησίν, ἀπὸ ποταμοῦ, v. Et. M. 714, 14. Videtur poeta civibus suis auctor fuisse, non ut Thasum, sed in Siritidem deducerent colonos, quo quidem Colophonii Gyge Lydis regnante confugissent, v. Niebuhr. Hist. Rom. I, 62. 1. Libri ἐφίμερος.

Fr. 18. Plutarch. Morall. II, 604, C. Ἀρχίλοχος τῆς Θάσου τὰ καρποφόρα καὶ οἰνόπεδα παρορῶν διὰ τὸ τραχὺ καὶ ἀνώμαλον διέβαλε τὴν νῆσον, εἰπών· Ἥδε κτλ. 2. Nolis ἀγρίης. ἐπιστεφής, Buttm. Lexil. I, 98.

Fr. 19. Strabo XIV, 647. Καλλῖνος μὲν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς Ἐφεσίους πολέμῳ, Ἀρχίλοχος δὲ ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν. Κλαίω κτλ. Heraclides Pont. Pol. XXII. Οἱ Μάγνητες δι' ὑπερβολὴν ἀτυχημάτων (h. e. ἀσεβημάτων) πολλὰ ἐκακώθησαν, ὅθεν καὶ Ἀρχίλοχος φησίν· Κλαίειν θαλασσῶν κτλ. Dixit poeta de ὕβρει, quae Magnetes perdidit et Colophonem, v. Theogn. 603. Suidas τὰ Μ. κακά· ἐπὶ τῶν μεγίστων καὶ ἀλγεινοτάτων κακῶν, παρόσον οὗτοι ἀσεβήσαντες εἰς θεὸν πολλῶν κακῶν ἐπειράθησαν. Vide Franck. Callin. 90. Caesar. de Carmm. Graec. Eleg. 61 sqq. Ceterum Tyrwhittus Κλαίειν τὰ Θασίων, οὐ τὰ Μ. κ. Alii aliter.

20.

Καὶ δὴ ᾽πίκουρος ὥστε Κὰρ κεκλήσομαι.

21.

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ᾽ εἴλέ πώ με ζῆλος οὐδ᾽ ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ᾽ οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

22.

Ὁ δ᾽ ᾽Ασίης καρτερὸς μηλοτρόφου.

23.

Ἄναξ Ἄπολλον, καὶ σὺ τοὺς μὲν αἰτίους
πήμαινε καὶ σφέας ὅλλυ᾽ ὥσπερ ὀλλύεις.

24.

Οἴην Λυκάμβεος παῖδα τὴν ὑπερτέρην.

Fr. 20. Scholl. Plat. 322. Bekker. *Καὶ τὸ παρ᾽ Ὁμήρῳ ἐν καρὸς αἴσῃ* (Il. *I*, 378.) *ἐν τῷ τυχόντι τινὲς ἀκούουσι. Μέμνηται δ᾽ αὐτῆς Ἀρχίλοχος λέγων· Καὶ δὴ* κτλ. Vide Winckelmann. Plat. Euthyd. 53.

Fr. 21. Aristoteles Rhet. III, 17, 30. *Ἀρχίλοχος ποιεῖ λέγοντα Χάρωνα τὸν τέκτονα ἐν ἰάμβῳ, οὗ ἡ ἀρχή· Οὔ μοι* κτλ. Pleniora Plut. Morall. II, 470, B. 1. Herodotus I, 12. 3. *θεῶν ἔργα, solem et stellas et decedentia certis Tempora momentis.*

Fr. 22. Scholl. Eur. Med. 713. *Καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. Ἀρχίλοχος· Ἡ δ᾽ Ἀσίη τε κ.* κτλ. Emendavit Elmslejus et Buttmannus ex Scholl. Odyss. *O*, 534., nisi quod *τε* perperam servarunt. Compara Aesch. Pers. 749. *ἓν᾽ ἄνδρα πάσης Ἀσιάδος μηλοτρόφου ταγεῖν.* Gygem intelligo.

Fr. 23. Macrobius Saturn. I, 17. *Alii cognominatum Apollinem putant ὡς ἀπόλλυντα τὰ ζῶα; exanimat enim et perimit animantes, cum pestem intemperie caloris immittit; ut Archilochus:* *Ἄναξ* κτλ. Cfr. Aesch. Agam. 1091. Mueller. Dorr. I, 294 sq.

Fr. 24. Scholl. Ven. A. Il. *Λ*, 786. *Ἡ διπλῆ, ὅτι Ἀρχίλοχος ὑπερτέραν τὴν νεωτέραν ἐδέξατο· Οἴην* κτλ. *ἀντὶ τοῦ τὴν νεωτέραν.* Scholl. B *Ἴωνες τὴν μετέωρον.* Certe *natu majorem* putaverim. Elmslejus malit *Λυκάμβεω.*

25.

Ἡ δέ οἱ κόμη
ὤμους κατεσκίαζε καὶ μετάφρενα.

26.

Ἐσμυρισμένας κόμας
καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσατο.

27.

Οὐκ ἂν μύροισι γρηῢς ἐοῦσ' ἠλείφετο.

28.

*Ὥσπερ * αὐλῷ βρῦτον ἢ Θρῇξ ἀνὴρ*
ἢ Φρὺξ ἔβρυζε, κύβδ' ἔην πονευμένη.

Fr. 25. Synesius Laud. Calv. 75, B. *Ἀρχίλοχος ἐπαινέσας τὴν κόμην, ἐπαινεῖ μὲν οὖσαν ἐν ἑταίρας σώματι. λέγει δὲ οὕτως· Ἡ δέ κτλ.* 2. Libri *κατασκιάζει*. Correxit Bentlejus.

Fr. 26. Athen. XV, 688, C. *Ἀρχίλοχος ἔφη· Ἐσμ. κτλ.*

Fr. 27. Athen. XV, 688, C. *Τῷ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος κέχρηται λέγων· Οὐκ ἂν κτλ.* Legebatur *γραῦς*. Intellige: *εἰ μὴ φρενῶν ἀπεσφάλης, οὐκ ἂν κτλ.* Vide Plut. Pericl. XXVIII.

Fr. 28. Athen. X, 447, B. *Τὸν κρίθινον οἶνον καὶ βρῦτον τινὲς καλοῦσιν. Ἀρχίλοχος· Ὥσπερ κτλ.* 1. *παρ' αὐλῷ* Dindorfius et Hermannus Opuscc. V, 28. *Θρῇξ* Scaliger: libri *Θρᾷξ*. Toupius *ᾧπερ πρὸς αὐλόν*. 2. Libri *κύβδα δ' ἦν, κύβδα ἦν*. Emendavit Toupius. Adscita Brunckii scriptura *οὖπερ πρὸς αὐλὸν κτλ.* poeta dicet: *Ubicunque vel Thrax homo vel Phryx* (nauſas intellige, infimi subsellii homunculos) *ad sonum tibiarum cerevisiam hauriebat, prona* (Scholl. Ar. Eqq. 364. Sophro Scholl. Arist. Lys. 17. *ἐνθάδε κυπτάζουσι πλεῖσται γυναῖκες.*) *operabatur* (Neobule?). Si Scaligerum sequeris — is *ὥσπερ γὰρ αὐλῷ* legit —, explicabis: *Conquiniscebat eo modo satagens mulier, quo siphone cerevisiam hausit Thrax vel Phryx, ipsa quoque sugens.* Obstare videtur imperfectum. De v. *ἔβρυζε* v. Huschk. Anall. Litt. 24.

29.

Περὶ σφυρὸν παχεῖα, μισήτη γυνή.

30.

Κατ' οἶκον ἐστρωφᾶτο δυσμενὴς βάβαξ.

31.

Ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροΐξεται.

32.

Πρὸς τοῖχον ἐκλίνθησαν ἐν παλινσκίῳ.

33.

Ὥστ' ὄνου Πριηνέος
κήλωνος ἐπλήμυρον ὀτρυγηφάγου.

Fr. 29. Scholl. Arist. Avv. 1619. *Μισητίαν οἱ μὲν περὶ Ἀριστοφάνην* (Byzantium) *τὴν εἰς τὰ ἀφροδίσια ἀκρασίαν, καὶ τὸ Περὶ* κτλ. *οὕτως ἐξηγοῦνται.* Archilocho vindicavit Jacobsius, qui teste Suida v. *μυσάχνη* meretricem *παχεῖαν* vocaverat. *Ἐν παροιμίας μέρει λεγόμενον* ait Photius s. v. *Μισητή.* Scripsi *μισήτη* cum Tryphone Ammonii s. v. *Μισητὴ· ἡ ἀξία μίσους· μισήτη δὲ ἡ κατηφερὴς πρὸς συνουσίαν.* Cfr. Thom. Mag. 240, 11. Valde in laude veteribus mulieres *καλλίσφυροι, εὔσφυροι.*

Fr. 30. Orio Theban. 37, 4. *Βάβαξ ὁ λάλος. Ἀρχίλοχος· Κατ'* κτλ. Cfr. Et. M. 183, 50.

Fr. 31. Et. M. 689, 3. *Προΐκτης· τινὲς παρὰ τὸ ἴζεσθαι* (ἵξεσθαι Scholl. Ar. Eqq. 433. Suid.), *δωρεάν τινα λαμβάνειν, ὡς Ἀρχίλοχος· Ἐμεῦ* κτλ. Et. Gud. 305, 3. *Φασὶν* (recte *φησὶν* Orio Theb.): *Οὐ δωρεὰν ἐμοῦ καταγνώσεταί τις, ἀλλ' ἀποδώσει μισθὸν ὧν ἔπραξε.* Ar. Nubb. 1237. Lobeck. Phryn. 169. Buttm. Gr. Max. II, 162. *Ἐκεῖνος,* infidus Lycambes.

Fr. 32. Harpocratio 143, 7. *Ἀρχίλοχος τριμέτροις· Πρὸς* κτλ. *ἀντὶ τοῦ ἐν σκοτεινῷ. Ἐκινήθησαν* Toupius correxit.

Fr. 33. Et. M. 167, 24. *Τρύγη ἐστὶν ὁ Δημητριακὸς καρπός, ὥσπερ Ὄνου κήλωνος ὀτρ. παρὰ Ἀρχιλόχῳ, ἀντὶ τοῦ κριθοφάγου.* Eustath. Odyss. *θ*, 1597, 28. (310, 2.)

34.

Κύψαντες ὕβριν ἀθρόην ἀπέφλυσαν.

35.

Ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται.

36.

Χολὴν γὰρ οὐκ ἔχεις ἐφ' ἵππατι.

37.

Χαίτην ἀπ' ὤμων ἐγκυτὶς κεκαρμένος.

38.

Προὔθηκε παισὶ δεῖπνον αἰηνὲς φέρων.

39.

Βοῦς ἐστὶν ἡμῖν ἐργάτης ἐν οἰκίῃ
χορωνὸς, ἔργων ἴδρις.

Κήλων μὲν πεποίηται ἀπὸ τῶν ὀχευτῶν ὄνων. Ἀρχίλυχος· Ὥστ' ὄνου Πριηνέως κήλωνος ἐπλήμυρον. Hinc conformavit Elmslejus.

Fr. 34. Photius *Κύψαι· ἀντὶ τοῦ ἀπάγξασθαι· Ἀρχίλοχος· Κύψαντες* κτλ. Legebatur *ἀπέφλοσαν.* Apollon. Rhod. III, 583. *ὅφρ' ἀλεγεινὴν ὕβριν ἀποφλύξωσιν.* Scholia *ἐκφυσήσωσιν.*

Fr. 35. Clemens Alex. Stromm. VI, 739, 20. Potter. *Ἀρχίλοχος εἴρηκεν· Ἀλλ'* κτλ. *παρὰ τὸ Ὁμηρικόν·* (Odyss. Ξ, 228.) *Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.* Vide Lobeck. Parall. I, 10.

Fr. 36. Athen. III, 107, F. *Λασυντέον λέγοντας τὸ ἤπαρ. Καὶ γὰρ ἡ συναλοιφὴ ἐστι παρ' Ἀρχιλόχῳ διὰ δασέος· φησὶ γάρ· Χολὴν* κτλ.

Fr. 37. Et. M. 311, 40. *Ἐγκυτὶ ἐπίρρημα σημαῖνον τὸ ἐν χρῷ. Ἀρχίλοχος· Χαίτην* κτλ. *τουτέστι πρὸς αὐτῷ τῷ δέρματι.* Legebatur *ἐγκυτί,* qua forma usus Callimachus.

Fr. 38. Et. M. 32, 26. *Αἰηνές· τὸ δεινὸν καὶ πολύστονον· Ἀρχίλοχος· Προὔθηκε* κτλ.

Fr. 39. Et. M. 530, 27. *Κορωνός· ὁ γαῦρος καὶ ὑψαύχην. Ἀρχίλοχος· Βοῦς* κτλ.

40.

Τοῖον γὰρ αὐλὴν ἔρκος ἀμφιδέδρομεν.

41.

Ἀμισθὶ γάρ σε πάμπαν οὐ διάξομεν.

IV. *Τετράμετροι.*

42.

Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε ῥήματ'.

43.

Ἔα Πάρον καὶ σῦκα κεῖνα καὶ θαλάσσιον βίον.

44.

Θάσον δὲ τὴν τριζοιζυρὴν πόλιν.

Fr. 40. Porphyr. Scholl. Il. *I*, 99. *Τὸ περιθεῖν τοῦτο δηλοῖ* (sc. *περιέχειν πανταχόθεν τὸ κατὰ μέσον ᾠκοδομημένον*)· *οἷον καὶ Ἀρχίλοχος δηλοῖ, ποιήσας· Τοῖον κτλ.*

Fr. 41. Apollon. Dyscol. de Adv. 571, 12. *Τὸ Ἀρχιλόχειον συνεστάλη· Ἀμισθὶ κτλ.* Elmsleius *διδάξομεν.*

IV. *Τετράμετροι.* Fr. 42. Aristoph. Pac. 582 (602.) *Ὦ σοφώτατοι γεωργοί, τἀμὰ δὴ ξυνίετε ῥήματα.* Scholia: *Πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν· Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε. ἐστὶ δὲ πρὸς* (παρὰ) *τὰ Ἀρχιλόχου Λιπερνῆτες κτλ.* Et. M. 566, 53. *Λιπερνήτας* (sic) *φησὶν Ἀριστόξενος* (*Ἀρχίλοχος* Meinek. Commentatt. Misc. I, 49.) *τοὺς ἁλιεῖς καὶ θαλασσίους ἀπὸ τοῦ τὰ τῆς ἁλὸς διαπιπράσκειν καὶ ζῆν.* Cfr. de *θαλασσίῳ βίῳ* Pariorum fr. 43. Verba sunt poetae ad cives Parios, ad colonian deducendam cohortaturi. De voce *λιπερνής* v. Lobeck. Parall. I, 238.

Fr. 43. Athen. III, 76, B. *Τῶν σύκων ἐν Πάρῳ τῇ νήσῳ Ἀρχίλοχος μνημονεύει, λέγων οὕτως· Ἔα κτλ. σῦκα κεῖνα, διὰ τὸ εὐτελὲς τοῦ βρώματος,* unde nescio quem *συκοτραγίδην* vocavit Archilochus.

Fr. 44. Eustath. Il. *Θ*, 616, 46. (725.) *Ἀρχίλοχος τριζοιζυρὴν πόλιν ἔφη τὴν Θάσον.* Vide fr. 18.

45.

Ὡς Πανελλήνων οὐξὺς ἐς Θάσον συνέδραμεν.

46.

Μηδ' ὁ Ταντάλου λίθος
τῆσδ' ὑπὲρ νήσου κρεμάσθω.

47.

Γλαῦκε, ὄρα, βαθὺς γὰρ ἤδη κύμασιν ταράσσεται
πόντος, ἀμφὶ δ' ἄκρα Γυρέων ὀρθὸν ἵσταται νέφος,
σῆμα χειμῶνος· κιχάνει δ' ἐξ ἀελπτίης φόβος.

48.

Καὶ νέους θάρσυνε· νίκης δ' ἐν θεοῖσι πείρατα.

Fr. 45. Strabo VIII, 370. *Ἡσίοδον μέντοι καὶ Ἀρχίλοχον ἤδη εἰδέναι* (φησὶν Ἀπολλόδωρος) *καὶ Ἕλληνας λεγομένους τοὺς σύμπαντας καὶ Πανέλληνας· τὸν μὲν περὶ τῶν Προποίδων λέγοντα, ὡς Πανέλληνες ἐμνήστευον αὐτάς, τὸν δὲ ὡς Πανελλ. κτλ.*

Fr. 46. Scholl. Pind. Ol. *A*, 97. *Ἀλκαῖος καὶ Ἀλκμὰν λίθον φασὶν ἐπαωρεῖσθαι τῷ Ταντάλῳ· ἐποίησε δὲ καὶ Ἀρχίλοχος· Μηδ' κτλ.* Vide Pausan. X, 31, 2. Porson. Eurip. Orest. 5. De Thaso, opinor, dicebat.

Fr. 47. Heraclides Pont. Allegor. Hom. IV, 12. Schow. *Ἀρχίλοχος ἐν τοῖς Θρακικοῖς ἀπειλημμένος δεινοῖς* (Thasii enim bella gerebant cum Maronitis de Stryma, v. Archilochum apud Harpocr. v. *Στρύμη.*) *τὸν πόλεμον εἰκάζει θαλαττίῳ κλύδωνι, λέγων ὧδέ πως· Γλαῦκε κτλ.* 1. Vulgo *Γλαῦχ' ὄρα*, quod ex libris correctum vindicavi Exx. Critt. VII, 45. persuasique Lehrsio Quaestt. Epp. 49. Theophrastus de Sign. Tempest. III, 798, 11. Schneider. *Ἐὰν ἐπὶ κορυφῆς ὄρους νέφος ὀρθὸν στῇ, χειμῶνα σημαίνει, ὅθεν καὶ Ἀρχίλοχος· Γλαῦχ' ὄρα.* 2. *Γυρέων*, v. Lobeck. Phryn. 417. Heraclides *Γυρεών*: Theophr. *ἀμφὶ δ' ἄκρας ὀρθόν*: Plutarch. Morall. II, 169, B. *ἄκρᾳ γυρεύων, γυρῶν, γυρεῦον*: duo libri quod cum Lobeckio scripsimus, diu ante utrumque Xylander. Gyras poeta vix poterat intelligere juxta Myconum et Naxum sitas, de quibus v. Odyss. *Δ*, 500. cum Scholl., sed *πέτρας* quasdam *στρογγύλας* non procul Thaso, opinor. 3. *ἐξ ἀελπτίης· ἐξ ἀνελπίστου.* Hesychius.

Fr. 48. Clemens Alex. Stromm. VI, 739, 12. Potter. *Ἀρ-*

49.

*Τοῖς θεοῖς τίθει * πάντα· πολλάκις μὲν ἐκ κακῶν*
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ' ἀνατρέπουσι καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους κλίνουσ'· ἔπειτα πόλλὰ γίγνεται κακά,
καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος.

50.

Οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον,
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ' ὑπεξυρημένον,
ἀλλά μοι μικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικὸς, ἀσφαλέως βεβηκὼς, καπινώμασιν δασύς.

χίλοχος ἐκεῖνο μεταφράζων (Il. *H*, 102.) *Νίκης ἀνθρώποισι θεῶν ἐκ πείρατα κεῖται, διὰ τοῦδε τοῦ ἰάμβου δῆλός ἐστι· Καὶ* κτλ. Legebatur *θαῤῥῦναι*: emendavit Elmsleius.

Fr. 49. Stob. Flor. CV, 24. *Ἀρχιλόχου.* 1. Codex B *τ' εἰ θεῖα πάντα: τίθει τὰ π.* Grotius: *τιθεῖν ἅπαντα* Jacobsius. Possis *τίθει δὲ πάντα.* Nisi fuit *Τοῖς θεοῖς τοι ῥεῖα πάντα. Ῥεῖος* memorat Theognostus Crameri II, 48, 17. Vide Odyss. *Π*, 211. Hesiod. Opp. 5 sqq. 4. Soph. Aj. 131. Vulgo *κινοῦσ'*. Emendavit Valckenarius. 5. Libri *χρὴ μὴ, χρήμῃ.* Correxit Abreschius. Suidas *χρήμη· χρεία, σπάνις.* Transit ad singularem poeta, ut fit. Schoemannus quidem volebat: *Καὶ βίου χρήμη, πλάναι τε καὶ νόος παρήορος.*

Fr. 50. Dio Chrysost. II, 8. Rsk. *Ὁ Ἀρχίλοχος περὶ στρατηγοῦ λέγων οὕτω φησίν· Οὐ* κτλ. Vide Valckenar. Diatr. 253. 1. Dio *διαπεπληγμένον*: Galenus V, 618, 8. et 630, 39. Basil. *διαπεπηγμένον*. Correxit Hemsterhusius ad Hesych. v. *διαπεπλίχθαι.* 4. *ῥαιβός* Dio et Pollux II, 4, 193. *Ῥαιβοὺς καλοῦσιν οἷς καμπύλα εἰς τὸ ἔνδον τὰ σκέλη· βλαισοὺς δὲ οἷς τὸ ἀπὸ τῶν γονάτων εἰς τὸ ἔξω ἀπέστραπται. Καὶ τὸ μὲν Ἀρχίλοχος, τὸ δὲ Ξενοφῶν λέγει.* Sed Scholl. Theocr. IV, 49. *Ῥοικόν· τὸ καμπύλον. Ἀρχίλοχος· Ἀλλά μοι ῥοικός τις εἴη κατὰ κνήμην ἰδεῖν.* Id Ionum est, v. Koen. Gregor. Cor. 554 sq. Ibidem vulgo ex Heinsii conjectura *ἀσφ. βεβ. ποσσί, καρδίης κλέως,* — — — — — *καπινοήμασιν δασύς.* Galenus *ποσί*, omittit Dio: *καρδίας* (altero loco *καρδίης*) *πλέως* Galenus: omittit Dio: *καὶ ἐπινοήμασι δασύς* Dio: omittit Galenus. Hinc locum restitui. *Ἐπινώμασιν δασύν* vocat imperatorem *consiliis abundantem*, sa-

51.

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσίν,
χίλιοι φονῆες ἐσμέν.

52.

Πόδες δὴ κεῖθι τιμιώτατοι.

53.

Ἕλπομαι, πολλοὺς μὲν αὐτῶν Σείριος καταυανέει,
ὀξὺς ἐλλάμπων.

54.

Ἐξίων· ἐτήτυμον γὰρ ξυνὸς ἀνθρώποις Ἄρης.

55.

Οὔ τις αἰδοῖος μετ' ἀστῶν, καίπερ ἔφθιμος, θανὼν

---

pientem pleno pectore, ut cum Plauto loquar, oppositum ὑπεξυρημένῳ. Alias πυκνὸς νόος, πυκιναὶ φρένες frequentantur. Ἐπινώμασι Ionice i. q. ἐπινοήμασι, v. Bergk. Anacr. 95.

Fr. 51. Plutarch. Galb. XXVII. Ὥσπερ φησὶν Ἀρχίλοχος· Ἑπτὰ κτλ., οὕτω τότε πολλοὶ τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας δὲ καὶ ξίφη καθαιμάσσοντες ἐπεδείκνυντο. *Acerbus poetae sarcasmus in Thrasones.* Schaeferus.

Fr. 52. Plutarch. Morall. II, 503, A. Ὁ λάλος πρόσκειται ἁπανταχοῦ τῶν ἱματίων ἀντιλαμβανόμενος, τοῦ γενείου, τὴν πλευρὰν θυροκοπῶν τῇ χειρί· Πόδες κτλ. κατὰ τὸν Ἀρχίλοχον.

Fr. 53. Plutarch. Morall. II, 658, B. Τὸν ἥλιον ἁναρπάζειν μᾶλλον ἐκ τῶν σωμάτων τὸ νοτερὸν διὰ τὴν πύρωσιν· πρὸς ὃ καὶ τὸν Ἀρχίλοχον εἰρηκέναι φυσικῶς· Ἕλπομαι κτλ. Hesychius Σείριος· Ἀρχίλοχος τὸν ἥλιον. Sirium intelligit Goettling. Hesiod. Opp. 417. 4. Huschkius ἐκλάμπων.

Fr. 54. Clemens Alex. Stromm. VI, 739. Potter. Κἀκεῖνο τὸ ἔπος (Il. Σ, 309.) Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα, μεταποιῶν αὐτὸς ὧδέ πως ἐξηνέγκατο (Archilochus): Ἔρξω· ἐτήτυμον κτλ. Correxit Bergkius Anacr. Praef. XIII.

Fr. 55. Stob. Flor. CXXVI, 4. Ἀρχιλόχου. Praeclare

γίγνεται· χάριν δὲ μᾶλλον τοῦ ζοοῦ διώκομεν
οἱ ζοοί· κάκιστα δ' αὐτῷ κατθανόντι γίγνεται.

56.

Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ' ἀνδράσιν.

57.

Ἓν δ' ἐπίσταμαι μέγα,
τὸν κακῶς τι δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

58.

Θυμὲ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε,
* ἀνὰ δὲ εὖ δυσμενῶν δ' ἀλέξευ προσβαλὼν ἐναντίον
στέρνον, ἐν δόκοισιν ἐχθρῶν πλησίον κατασταθεὶς
ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μηδὲ νικηθεὶς ἐν οἴκῳ κάταπεσὼν ὀδύρεο.
ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην· γίγνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

59.

Μάχης δὲ τῆς σῆς, ὥστε δειπέων πιεῖν,
ὡς ἐρέω.

---

haec emendavit Porsonus Eurip. Hec. 1090. 4. Legebatur κάκιστα δ' αὐτῷ τῷ θαν.: Stobaeus δὲ τῷ θαν. Id nos correximus.

Fr. 56. Stobaeus Flor. CXXV, 5. Ἀρχιλόχου. Odyss. X, 412. Οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδρασιν εὐχετάασθαι, ubi v. Scholia.

Fr. 57. Theophil. ad Autolyc. II, 194. Καὶ Ἀρχίλοχος κτλ. Vide Aesch. Choeph. 120. Plat. Crit. 49, C. ibique Interpp.

Fr. 58. Stob. Flor. XX, 28. Ἀρχιλόχου. 2. Sic AB: Gesnerus ἐνάδευ. Tentabam: αἰδέευ μὲν ὦν, ἀλέξευ κτλ. Bergkius apud Zimmermann. Diar. Philoll. 1837, 55. p. 455. ἀναδέκευ, μένων δ' ἀλ. 3. ἐν δοκοῖσιν A, h. e. in hastis: Valckenarius ἐνδόμοισιν, h. e. ἐνέδραις, v. Hesych. 5. οἴκῳ Ilgenius et Doederlein. Soph. O. C. 1625. 6. Libri ἄσχαλλε: recte Grotius. 7. ῥυθμὸς AB et quidam codd. Schowii. De significatione v. Theogn. 964.

Fr. 59. Athen. X, 433, E. Τῆς δίψης οὐδέν ἐστι πολυποθητότερον. Καὶ ὁ Ἀρχίλοχος· Μάχης κτλ.

60.

Νῦν δὲ Λεώφιλος μὲν ἄρχει, Λεώφιλος δ' ἐπικρατέει,
Λεωφίλῳ δὲ πάντα κεῖται, Λεωφίλου δ' ἀκούεται.

61.

Πολλὸν δὲ πίνων καὶ χαλίκρητον μέθυ,
[ἐσθίων δ'] ὧν οὔτε τίμιον [οὔτιν'] εἰςηνέγκαο,
οὐδὲ μὴν κληθεὶς [ἐς ἡμᾶς] ἦλθες, οἷα δὴ φίλος,
ἀλλά σ' ἡ γαστὴρ νόον τε καὶ φρένας παρήγαγεν
εἰς ἀναιδίην.

62.

Τοῖος ἀνθρώποις νόος γάρ, Γλαῦκε, Λεπτίνεω πάϊ,
γίγνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγῃ,
καὶ φρονεῦσι τοῖ, ὁκοίοις ἐγκυρέωσιν ἔργμασιν.

Fr. 60. Herodianus περὶ σχημ. 57, 2. Ἔστι τὸ τοιοῦτον σχῆμα (πολύπτωτον) καὶ παρά τισι τῶν ποιητῶν, ὡς παρὰ Ἀρχιλόχῳ· Νῦν δὲ κτλ. 2. Libri Λεώφιλε δὲ ἄκουε, Λεώφιλος δ' ἄκουε. Correxit Porsonus. Ceterum v. Bergk. Comm. Antiq. Com. Att. 12. et nostra ibidem 439. Bernhardy Hist. L. Gr. I, 53.

Fr. 61. Athen. I, 7, F. Περὶ Περικλέους φησὶν Ἀρχίλοχος ὁ Πάριος ποιητὴς ὡς ἀκλήτου ἐπειςπαίοντος εἰς τὰ συμπόσια Μυκονίων δίκην. Λοκοῦσι δ' οἱ Μυκόνιοι διὰ τὸ πένεσθαι καὶ λυπρὰν νῆσον οἰκεῖν ἐπὶ γλισχρότητι καὶ πλεονεξίᾳ διαβάλλεσθαι. Tum paucis interjectis hos versus affert. Lacunas explevit Porsonus Adverss. 45. 2. Libri εἰςήνεγκας: Porsonus εἰςενήνοχας. 3. Libri οὐδέ: Casaubonus οὔτε. 5. Libri ἀναιδείαν: correxit Dindorfius.

Fr. 62. Theo Progymnasm. I, 153. Walz. Ἀρχίλοχος. Aliis fontibus exploratis concinnavi Exx. Critt. VII, 46 sq. 1. Odyss. Σ, 135. Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε. 3. Versus servatus in Eryxia Platonico 397, E. Ὁποῖοι ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι. Καλῶς δὲ δοκεῖ μοι καὶ τὸ τοῦ Ἀρχιλόχου πεποιῆσθαι· Καὶ κτλ. Illis junxit Fr. Jacobsius et Welckerus Mus. Rhen. 1833, IV, 603. Compara Heraclitum Clem. Alex. Stromm. II, 432. Potter. Οὐ φρονέουσι τοιαῦτα πολλοὶ ὁπόσοι (ὁκοίοις Schleiermacherus) ἐγκυρέωσιν οὐδὲ μαθόντες γινώσκουσιν, ἐωϋτοῖσι δὲ δοκέουσι κατὰ τὸν γενναῖον Ἡράκλειτον.

63.

Τὸν κεροπλάστην ἄειδε Γλαῦκον.

64.

Εἰ γὰρ ὡς ἐμοὶ γένοιτο χεῖρα Νεοβούλης θιγέειν
καὶ πεσέειν δρήστην ἐπ' ἀσκὸν κηπὶ γαστρὶ γαστέρα
προσβαλέειν μηρούς τε μηροῖς.

65.

Ἥμβλακον καί πού τιν' ἄλλον ἦδ' ἄλη κιχήσατο.

66.

Χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον,
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσημβρίης ἔθηκε νύκτ' ἀποκρύψας φάος
ἡλίου λάμποντος· ὑγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ κἄπιστα πιστὰ κἀπίελπτα γίγνεται
ἀνδράσιν· μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω,

Fr. 63. Scholl. Vict. Il. Ω, 81. *Οἱ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν ὁμοίαν κέρατι. Τὸν κτλ. Ἀρχίλοχος.* Plut. Morall. II, 976, F. *Τὸν παρ' Ἀρχιλόχῳ κεροπλάστην φιλόκοσμον εἶναι περὶ κόμην καὶ καλλωπιστήν.* De Glauco v. fr. 47. 62.

Fr. 64. Ex Plut. Morall. II, 386, D. et Scholl. Eurip. Med. 674. refinxit Elmslejus. 1. *χειρὶ* Elmslejus suspicatur.

Fr. 65. Clemens Alex. Stromm. VI, 739, 2. Potter. *Ὁ Ἀρχίλοχος τὸ Ὁμηρικὸν ἐκεῖνο μεταφέρων* (Il. *I*, 116.) *Ἀασάμην οὐδ' αὐτὸς ἀναίνομαι, ὥδέ πως γράφει. Ἥμβλακον κτλ.* ἄτη libri; correxit Hermannus. De forma ἤμβλακον v. ad Ibyc. Rheg. 214.

Fr. 66. Stob. Floril. CX, 10. *Ἀρχιλόχου.* Aristoteles Rhet. III, 17. *Ὁ Ἀρχίλοχος ποιεῖ τὸν πατέρα λέγοντα περὶ τῆς θυγατρὸς ἐν τῷ ἰάμβῳ· Χρημάτων κτλ.* Loquitur, opinor, pater Neobulae, conquerens de filia ab Archilocho, antea ardentissimo amatore, probrosis carminibus lacerata. 4. Libri *λυγρόν*: correxit Valckenarius. Bentlejus *ὠχρόν*. 5. Libri *ἐκ δὲ τοῦ οὐκ ἄπιστα πάντα*. Emendavit Thierschius, Muellerus, Bergkius.

μηδ' ἵν' ἂν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν
ἐνάλιον καὶ σφιν θαλάσσης ἠχέεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' * ἡδὺ ἦν ὄρος.

67.

Κλῦθ'. ἄναξ Ἥφαιστε καί μοι σύμμαχος γουνουμένῳ
ἵλαος γενεῦ, χαρίζευ δ' οἷάπερ χαρίζεαι.

68.

Αὐτὸς ἐξάρχων πρὸς αὐλὸν Λέσβιον παιήονα.

69.

Ὡς Διωνύσου ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας.

70.

Βαῖνε λὰξ ἐπὶ τραχήλου, βαῖνε καὶ πέλα χθονί.

---

7. Libri ἵνα. Emendarunt Thierschius et Hermannus de ἄν part. 133. 8. Libri ἠχήεντα: Herodianus περὶ μον. λέξ. 14, 18. Κατὰ συστολὴν ποιητικὴν τὸ ἠχέεις, βρωμέεις. Indicavit Meinekius quaestt. Scenn. III, 63. 9. Hermannus El. D. M. 49. ἡδὺ ἦ ὄρος: Jacobsius τοῖσιν ἥδιον δ' ὄρος: nos Ibyc. Rheg. 104. τοῖσιν ἀνδάνῃ δ' ὄρος.

Fr. 67. Plut. Morall. II, 23, AB. Ὁ Ἀρχίλοχος ὅταν εὐχόμενος λέγῃ· Κλῦθ' κτλ., αὐτὸν τὸν θεὸν ἐπικαλούμενος δῆλος ἐστίν, non ignem, ut Eleg. fr. 10. 2. Ἵλεως praeferebat Seidler. Verss. Dochm. 102. Similis est Aesch. Choeph. 2.

Fr. 68. Athen. V, 180, E. Τὸ ἐξάρχειν τῆς φόρμιγγος ἴδιον· καὶ ὁ Ἀρχίλοχος· Αὐτὸς κτλ. Lesbium dicit Paeana propter Terpandrum, v. Mueller. Dorr. I, 351.

Fr. 69. Athen. XIV, 628, A. Φιλόχορός φησιν, ὡς οἱ παλαιοὶ σπένδοντες οὐκ ἀεὶ διθυραμβοῦσιν, ἀλλ' ὅταν σπένδωσι, τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ, τὸν δὲ Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλποντες (μέλπουσιν Hermannus). Ἀρχίλοχος γοῦν φησίν· Ὡς Διωνύσοι' ἄν. Correxit Hermannus Orph. 722. Compara Welckeri Append. Trilog. Aesch. 231.

Fr. 70. Plutarch. Morall. II, 457, C. sine nomine auctoris: Archilocho aut Hipponacte dignum tetrametrum vocat Welckerus Theogn. 717., Archilochum auctorem esse credo cum Hermanno Soph. O. C. 1063.

V. Ἐπῳδοί.

71.

Δύστηνος ἔγκειμαι πόθῳ
ἄψυχος, χαλεπῇσι θεῶν ὀδύνῃσιν ἔχητι
πεπαρμένος δι' ὀστέων.

72.

Ἀλλά μ' ὁ λυσιμελὴς, ὦ ταῖρε, δάμναται πόθος.

73.

Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς
λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων
ὕβρις τε καὶ δίκη μέλει.

74.

Αἶνός τις ἀνθρώπων ὅδε,
ὡς ἆρ' ἀλώπηξ καὶετὸς ξυνωνίην
ἔμιξεν.

V. Ἐπῳδοί. Fr. 71. Stob. Flor. LXIV, 12. Ἀρχιλόχου.

Fr. 72. Hephaest. 98, 5. Τρίτον ἐστὶ παρ' Ἀρχιλόχῳ ἀσυνάρτητον ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ διμέτρου ἀκαταλήκτου. Ἀλλὰ κτλ. Libri λυσιτελής.

Fr. 73. Clemens Alex. Stromm. V, 725, 10. Ὁ Πάριος Ἀρχίλοχος λέγει· Ὦ Ζεῦ κτλ. Aeschylo tribuunt codd. Stob. Eclogg. Phys. I, 122. 3. Legebatur καθέμιστα. Clemens vulgo καὶ ἃ θέμις: Stobaeus λεωργὰ καθέμιτας δὲ δέ.

Frr. 74—76. sunt ex fabula, qua Lycambae Lycambidumque exagitaverat poeta perfidiam, docebatque *raro antecedentem scelestum deseruisse pede Poenam claudo*, v. Fabb. Aesop. 1. Schneider. Philostrat. Imagg. 706. Ἐμέλησε μύθου καὶ Ἀρχιλόχῳ πρὸς Λυκάμβην. Vide Arist. Avv. 652. cum Scholiis et Huschk. de Fabb. Archil. in Matthiaei Miscell. Philoll. I, 1 sqq. Et Lycamben et filias laqueo vitam finivisse referunt Scholl. Horat. Epod. VI, 13. Fr. 74. citat praeter alios Diogenianus Praef. Paroem. V. Gaisf. et in Walz. Rhett. II, 1069. Αἶνός ἐστι καὶ ἀπλα-

75.

Ὅρκον δ' ἐνοσφίσθης μέγαν
ἅλας τε καὶ τράπεζαν.

76.

Μή τευ μελαμπύγου τύχῃς.

77.

Ἐρέω τιν' ὑμὶν αἶνον, ὦ Κηρυκίδη,
ἀχνυμένη σκυτάλη·

σιν μυθικὴν ἀναφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν ἐπὶ ἀνθρώπων παραίνεσιν· καὶ ἀπὸ ζώων μέν, ὡς παρ' Ἀρχιλόχῳ· Αἶνος κτλ. Vide Exx. Critt. IX, 56 sqq. 2. ἁρ' tanquam κοινότερον (καινότερον codex) ex h. l. affert Apollonius Adv. 490, 14. Vide Hartung. Particc. I, 456. cll. fr. 77, 5. 3. Vulgo ξυν. ἔθεντο: illud ex Diogeniano et Scholl. Od. Ξ, 508. dedi. Eustathius: ἔμιξαν ἢ καθ' ἑτέραν γραφὴν ἔθεντο.

Fr. 75. Origenes c. Cels. II, 74. Τίς οὐκ οἶδεν, ὅτι πολλοὶ κοινωνήσαντες ἁλῶν καὶ τραπέζης ἐπεβούλευσαν τοῖς συνεστίοις; καὶ πλήρης ἐστὶν ἡ Ἑλλήνων καὶ βαρβάρων ἱστορία τοιούτων παραδειγμάτων. Καὶ ὀνειδίζων γε ὁ Πάριος ἰαμβοποιὸς τὸν Λυκάμβην μετὰ ἅλας καὶ τράπεζαν συνθήκας ἀθετήσαντα φησὶ πρὸς αὐτόν· Ὅρκον κτλ. Hinc proverbium Ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν, de quo v. Zenob. I, 62. Diogen. II, 11. Blomfield. Aesch. Ag. 392. Lobeck. Agl. 85.

Fr. 76. Scholl. Il. Ω, 315. Εἴωθε (f. ἔοικε) καὶ ὁ Ἀρχίλοχος μελάμπυγον τοῦτον καλεῖν τὸν ἀετόν· Μή τευ κτλ. Et post: Πρὸς τὸν πύγαργον ἀετὸν συγκρίνων καρτερὸν εἶπε τὸν μελάμπυγον. De aquila in fabula, ut conjicio, dicebat poeta, quod postea proverbii loco celebratum ad Herculis μελαμπύγου cum Cercopibus historiolam traduci coeptum est, v. Mueller. Dorr. I, 458. Lobeck. Agl. 1299. Hesychius aliique: Μή τευ μελαμπύγου τύχοις· μή τινος ἀνδρείου καὶ ἰσχυροῦ τύχοις. Nimirum τοὺς δασεῖς τὰς πυγὰς ἀνδρείους ἐνόμιζον et olim hodieque.

Fr. 77. 78. 79. sunt ex altera fabula Archilochi, de qua v. Huschk. l. c. p. 23 sqq. In Lycamben haec quoque torta: Dio Chrysost. II, 399. Rsk. Ἡ περδαλῆ ἀλώπηξ ἑταίρα τις ἦν παρ'

Πίθηκος ἦει θηρίων ἀποκριθεὶς
μοῦνος ἀν' ἐσχατιήν·
τῷ δ' ἆρ' ἀλώπηξ κερδαλέη συνήντετο
πυκνὸν ἔχουσα νόον.

78.

Πόλλ' οἶδ' ἀλώπηξ, ἀλλ' ἐχῖνος ἓν μέγα.

79.

Τοιήνδε δ', ὦ πίθηκε, τὴν πυγὴν ἔχων.

80.

Τῇ μὲν ὕδωρ ἐφόρει
δολοφρονέουσα χειρὶ, τἠτέρῃ δὲ πῦρ.

Ἀρχιλόχῳ. Fastum Lycambae deridebat, v. Fabb. Aesop. 11. Schneider. cll. Gudii Append. 22. Fr. 77. affert praeter alios Ammonius p. 6. Valcken. 1. Κηρυκίδη, rei parum acceptae nuncium (ἀχνυμένη σκυτάλη· ἐπὶ τῶν λυπηρὰς ἀγγελίας ἀγγελλόντων Diogenian. III, 25.) ex re ac munere compellavit, ut Ἐρασμονίδην Χαρίλαον fr. 92. Cfr. Nitzsch. Melett. Hist. Hom. I, 77 sq. 2 Athen. III, 85, E. docet, Aristophanem Byzantium peculiare edidisse σύγγραμμα περὶ τῆς ἀχνυμένης σκυτάλης. Cfr. Scholl. Pind. Ol. VI, 154. et Apollon. Rhod. ἐν τῷ περὶ Ἀρχιλόχου Athen. X, 451, D. 5. κερδαλέη ἀλώπηξ, v. Plat. Rep. 365, C. ἆρ', v. fr. 74, 2.

Fr. 78. Zenobius V, 68. Μέμνηται ταύτης Ἀρχίλοχος ἐν Ἐπωδῇ. Λέγεται ἡ παροιμία ἐπὶ τῶν πανουργοτάτων. Echinus enim εὖτ' ἂν ἄλλων κρειττόνων ἑρμὴν μάθῃ, στρόβιλος ἀμφ' ἄκανθαν εἰλίξας δέμας κεῖται δακεῖν τε καὶ θιγεῖν ἀμήχανος, Ion. Phoenic. fr. 1.

Fr. 79. Scholl. Arist. Ach. 120. Τοιόνδε δ', ὦ πίθηκε, τὸν πώγων' ἔχων·] Καὶ τοῦτο παρῴδηκεν ἐκ τῶν Ἀρχιλόχου ἐπῶν (ἐπῳδῶν Huschkius). Τοιόνδε κτλ.

Fr. 80. Plutarch. Demetr. XXXV. Ἡ τύχη καθάπερ ἡ παρ' Ἀρχιλόχῳ γυνὴ Τῇ μὲν ὕδωρ κτλ. Rursus Morall. II, 1070, A. et 950, F. Ὁ Ἀρχίλοχος ἐπὶ τῆς τἀναντία φρονούσης οὐ κακῶς εἶπε κτλ. 2. Vulgo θητέρῃ: Plut. tertio loco τῇ ἑτέρῃ, unde mutavi. Similiter Plautus Aulul. II, 2, 18.

81.

Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;
τίς σὰς παρήειρε φρένας;

82.

Ἔχουσα θαλλὸν μυρσίνης ἐτέρπετο
ῥοδέης τε καλὸν ἄνθος.

83.

Φαινόμενον κακὸν οἰκαδ' ἄγεσθαι.

84.

Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην.

85.

Οὐκέθ' ὁμῶς θάλλεις ἁπαλὸν χρόα· κάρφεται γὰρ ἤδη,
ὄγμος κακοῦ δὲ γήραος καθαιρεῖ·
* * *
πολλὰς δὲ τυφλὰς ἐγχέλυας ἐδέξω·

Fr. 81. Hephaest. 139, 3.

Fr. 82. Ammonius p. 125. Valcken. *Ῥόδον τὸ ἄνθος, ῥοδωνιὰ δὲ ὁ τόπος, ῥοδῆ δὲ τὸ φυτόν. Ἀρχίλοχος· Ἔχουσα κτλ.* Neobulen, opinor, perstringebat, quae conviviis interesse non detrectaret.

Fr. 83. Hephaest. 40, 15. *Ἀρχίλοχος ἐν ἐπῳδοῖς· Φαινόμενον κτλ.*, sc. uxorem. Arist. Lysistr. 259. (*Γυναῖκες*) *κατ' οἶκον ἐμφανὲς κακόν.*

Fr. 84. Hephaest. 36, 1. *Τρίμετρον καταληκτικὸν τροχαϊκόν, οἷόν ἐστι τὸ Ἀρχιλόχου, ὃ τινες ἀκέφαλον ἰαμβικὸν καλοῦσι· Ζεῦ κτλ.*

Fr. 85. Hephaest. 38, 3. *Τῷ καλουμένῳ ἰθυφαλλικῷ πρῶτος Ἀρχίλοχος κέχρηται, συζεύξας αὐτῷ δακτυλικὸν τετράμετρον, οὕτως· Οὐκέθ' κτλ. Κάρφεαι* Mitscherlichius. 2. Hunc versum affert Hephaest. 32, 8. *Τρίμετ[illegible] καταληκτικὰ ἰαμβικά, οἷον τὸ τοῦ Ἀρχιλόχου· Ὄγμος [illegible]* 3. Athen. VII, 299, A. *Ὁμήρου εἰπόντος·* (Il. Φ, 353.). *Τοῦτο οὖν ἐγχέλυές τε καὶ ἰχθύες ἀκολούθως ἐποίησε καὶ Ἀρχίλοχος· Πολλὰς κτλ. Τυφλὰς ἐγχέλυας* intellige membra virilia, quae receperat Neobule.

τοῖος γὰρ φιλότητος ἔρως ὑπὸ καρδίην ἐλυσθεὶς
πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν
κλέψας ἐκ στηθέων ἁπαλὰς φρένας.

86.

Πτώσσουσαν ὥστε πέρδικα.

87.

Πάρελθε, γενναῖος γὰρ εἶς.

88.

Τί μακρὰ δὴ φρονέεις, τάλαν;

89.

Ὡς δ' ἄν σε θωΐῃ λάβοι.

90.

Πεντήκοντ' ἀνδρῶν λίπε Κοίρανον ἵππιος Ποσειδῶν.

---

4. 5. 6. Stob. Flor. LXIV, 11. Ἀρχιλόχου. Scite haec coagmentavit Elmslejus. 4. Hermannus El. D. M. 670. ἐλιχθείς: sed v. Buttm. Lexil. II, 164.

Fr. 86. Ath. IX, 188, F. Τοῦ ὀνόματος (πέρδιξ) ἔνιοι συστέλλουσι τὴν μέσην συλλαβήν, ὡς Ἀρχίλοχος. Πτώσσουσαν κτλ.

Fr. 87. Athen. XIV, 653, D. Γενναῖα λέγει τὰ εὐγενῆ ὁ φιλόσοφος, ὡς καὶ Ἀρχίλοχος· Πάρελθε κτλ.

Fr. 88. Plotius 2642. Putsch. *Acatalectum Archilochium dimetrum iambicum* βι *syllaba addita Anacreontio dimetro catalectico, ut est:* Τί κτλ. Vide Bergk. Anacr. 227.

Fr. 89. Et. M. 26, 23. Εὕρηται θωϊή, ὡς παρ' Ἀρχιλόχῳ· Ὡς δ' κτλ.

Fr. 90. Plutarch. Morall. II, 984, F. Κοίρανος Πάριος ὢν τὸ γένος ἐν [illegible]αντίῳ δελφίνων βόλον ἐνσχεθέντων σαγήνῃ καὶ κινδυνευόντων [illegible]καχοπῆναι πριάμενος μεθῆκε πάντας. Ὀλίγῳ δὲ ὕστερον ἔπλει πεντηκόντορον ἔχων, ὥς φασι, λησταῖς ἀνδρας ἄγουσαν. Ἐν δὲ τῷ μεταξὺ Νάξου καὶ Πάρου πορθμῷ τῆς νεὼς ἀνατραπείσης καὶ τῶν ἄλλων διαφθαρέντων, ἐκεῖνον λέγουσι δελφῖνος ὑποδραμόντος αὐτῷ καὶ ἀνακουφίζοντος

91.

Καὶ βήσσας ὀρέων δυσπαιπάλους, οἷος ἦν ἐπ' ἴβης.

92.

Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον
ἐρέω πολὺ φίλταθ' ἑταίρων, τέρψεαι δ' ἀκούων.

* * *

Ἀστῶν δ' οἱ μὲν κατόπισθεν ἦσαν, οἱ δὲ πολλοί.

* * *

Φιλέειν στυγνόν περ ἐόντα μηδὲ διαλέγεσθαι.

* * *

Δήμητρί τε χεῖρας ἀνέξων.

VI. Ὕμνος εἰς Ἡρακλέα.

93.

Ὦ καλλίνικε, χαῖρ' ἄναξ Ἡράκλεες
αὐτός τε καὶ Ἰόλαος, αἰχματὰ δύο,
τήνελλα καλλίνικε.

ἐξενεχθῆναι τῆς Σικύνθου (Σικίνου Reiskius) κατὰ σπήλαιον, ὃ δείκνυται μέχρι νῦν καὶ καλεῖται Κοιράνειον. Ἐπὶ τούτῳ δὲ λέγεται ποιῆσαι τὸν Ἀρχίλοχον· Πεντήκοντ' κτλ. Vide Phylarchum Athen. XIII, 606, E.

Fr. 91. Hephaest. 38. allato v. 1. fragm. 85. pergit: Καὶ βήσσας κτλ. Archilochi esse et ipsa vidit Hermannus de Metr. 42. ἐπ' ἴβης Fl. et C. (ἐπήβης): vulgo ἐφ' ἴβης.

Fr. 92. Hephaest. 91, 6. ubi agit de versibus asynartetis, priorem; p. 96, 8. alterum versum apponit: junxit Koenius. Charilaum, quem jocose Ἐρασμονίδην vocat, v. Bergk. Comm. Ant. Com. Att. 7 sqq., in tetrametris ob voracitatem sugillaverat poeta, Athen. X, 415, E. 3. Hephaest. 92, 4. 4. Ibid. 96, 9. 5. Ibid. 50, 14.

VI. Ὕμνος εἰς Ἡρακλέα. Fr. 93. Scholl. Pind. Ol. IX, 1. ubi v. Intpp. Non Epinicium, sed hymnum in Herculem hoc carmen fuisse Eratosthenes testis est: τριπλόον δὲ οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν συγκεῖσθαι, ἀλλὰ διὰ τὸ τρὶς ἐφυμνιάζεσθαι τὸ Καλλίνικε. περὶ δὲ τοῦ Τήνελλα Ἐρατοσθένης φησὶν, ὅτι, ὅτε ὁ αὐλητὴς ἢ ὁ κιθαριστὴς μὴ παρῆν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν ἔλεγεν ἔξω τοῦ μέλους, ὁ δὲ τῶν σωμαστῶν χορὸς

βροτοῖσι κῆρες, κἀνεπίφραστοι δύαι
καὶ πήματ' ἐστίν· εἰ δ' ἐμοὶ πιθοίατο,
οὐκ ἄν κακῶν ἐρῷμεν, οὐδ' ἐν ἄλγεσι
κακοῖς ἔχοντες θυμὸν αἰκιζοίμεθα.

2.

Τοῦ μὲν θανόντος οὐκ ἄν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρης μιᾶς.

3.

Πάμπαν δ' ἄμωμος οὔτις οὐδ' ἀκήριος.

4.

Εὔθυμος ὧν ἔρεσσε τὴν ἐπ' Ἄϊδος
ἀταρπὸν ἕρπων· οὐ γάρ ἐστι δύςβατος
οὐδὲ σκαληνὸς οὐδ' ἐνίπλειος πλάνης,
ἰθεῖα δὴ μάλιστα καὶ κατακλινὴς
ἅπασα, κἠκ μεμυκότων ὁδεύεται.

5.

Ἄθηλος ἵππῳ πῶλος ὡς ἅμα τρέχει.

6.

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ λῇΐζεται
ἐσθλῆς ἄμεινον οὐδὲ ῥίγιον κακῆς.

---

24. κακῶς Seidlerus de Verss. Dochm. 326. ἔχοντες i. q. ὄντες.

Fr. 2. Stob. Floril. CXXIV, 5. Σιμωνίδου. Vide Archilochi Eleg. fr. 8, 9.

Fr. 3. Stob. Floril. CV, 7. Σιμωνίδου.

Fr. 4. Stob. Floril. CXX, 9. Λεωνίδα vel Λεωνίδου, quod praeclare sustulit Welckerus. 1. ὤν conjicit Welckerus. 3. Legebatur ἐνίπλεως, quod Atticorum est: οὐδενὶ πλεοσπλάνης Voss. Ars.: οὐδενὶ πλέων A. Vide fr. 2, 2.

Fr. 5. Plutarch. Morall. II, 84, D. Οἷός τ' ἐστὶ κατὰ τὸν Σιμωνίδην ἄθηλος κτλ. τῷ ἀγαθῷ μονονουχὶ συμφῦναι γλιχόμενος. Cfr. Plut. 446, E. 790, F. Stob. Floril. CXV, 18.

Fr. 6. Clemens Alex. Stromm. VI, 744. Potter. Ἡσιόδου

7.

ΠΕΡΙ ΓΥΝΑΙΚΩΝ.

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
ταπρῶτα, τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα
ἄκοσμα κεῖται, καὶ κυλινδεῖται χαμαί·
αὐτὴ δ' ἄλουτος ἀπλύτοις ἐν εἵμασιν
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἴδριν, οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν, οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ αὐτῶν εἶπε πολλάκις καλὸν,
τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ κυνὸς λιτουργὸν, αὐτομήτορα,

εἰπόντος (Opp. 700.)· *Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λήῖζετ' ἄμεινον Τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ φέριον ἄλλο, Σιμωνίδης εἶπεν· Γυναικὸς κτλ.* Cfr. Soph. Phaedr. fr. 5. Eurip. Melanipp. 14. cll. Homer. Odyss. Ω, 426.

Fr. 7. Stob. Floril. LXXIII, 61. *Σιμωνίδου.* Post Welckerum in carmine hoc praestantissimo, quocum cfr. Phocylidis fr. 3., emaculando operam collocarunt Hermannus et Bergkius in Zimmermanni Diar. Philoll. 1836, 66 sqq., Doederleinius in Annall. Litt. Monacenss. 1837, 25 sq., Fr. Haasius in Zimmermanni Diar. Philoll. 1836, 85. et nosmetipsi in Exercitatt. Crit. Cap. I.

1. Conjicio *χωρὶς γυναῖκας* (vel *γυναῖκα*) *θ. ἐ. νόον*, h. e. *diversas ad indolem creavit Deus mulieres.* 4. *κυλίνδεται* B. 5. Sic A: *ἄπλυτός τ' ἐν εἵμασιν* Stephanus: *ἀπλύτοις τ' ἐν εἵμ.* Valckenarius. 6. *εἱμένει* A: *εἱμένη* Ars. 10. Gesnerus *τὸ μὲν γὰρ αὐτῶν ἐστι*: Brunckii Codex *τὸ μὲν γὰρ αὐτό γ'* (marg. *γρ αὐτῶν*) *εἶπε*: N Trinc. *αὐτῶν εἶναι*: A *εἶπε*: B *γ' εἶπε.* Explico nunc cum Hermanno et Doederleinio: *Mulier vulpina scit omnia et bonum et malum; nam alterum (bonum) vocat malum, quod malum est, bonum; et mente variabili est:* omnia ad praesentem usum detorquet, ut lubet. Haasius *τὸ μὲν γὰρ αὖτως* volebat. 12. Libri *λιτοργόν*: Gesnerus *λιτουργόν*, quod Hesychio est i. q. *κακοῦργον.* Ammonius 146. Valck. *λιτουργεῖν· κακὰ λέγειν.* Doederleinius *λιτουργὸν* i. q. *ἡλιτόεργον* esse suspicabatur Synonym. et Etym. IV, 404., nunc *λιτοργὸν* ad eandem radicem revocat, aut *λειτουργὸν* scribendum ait cum Grotio, *circumforaneam, unam τῶν ἐκκλησιαζουσῶν, sedulam, impudentem.* Welckero *λιτοργὸς* ex *λιτὸς* et *ὀργὴ* compositum est. *αὐ-*

ἢ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντη δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδὲν ἀνθρώπων ὁρᾷ.
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνὴρ,
οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὐδ' ἂν μειλίχως παθὼν ἔπη,
οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι·
ἀλλ' ἐμπεδῶς ἄπρηκτον αὐτὴν ἔχει.
Τὴν δὲ πλάσαντες γηΐνην Ὀλύμπιοι,
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακὸν,
οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
κοὐδ' ἢν κακὸν χειμῶνα ποιήσῃ θεὸς,
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
Τὴν δ' ἐκ θαλάσσης, ἣ δύ' ἐν φρεσὶν νοεῖ·
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις ἰδών·
» Οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνὴ
ἐν πᾶσιν ἀνθρώποισιν, οὐδὲ καλλίων. «
τὴν δ' οὐκ ἀνεκτὸς οὔτ' ἐν ὀφθαλμοῖς ἰδεῖν,
οὔτ' ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον, ὥσπερ ἀμφὶ τέκνοισιν κύων.
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη
ἐχθροῖσιν ἴσα καὶ φίλοισι γίγνεται.

τομήτορα, h. e. αὐτὴ μήτηρ (κύων), v. Lobeck. Phryn. 659 sqq. Wakefieldius αὐτοκλήτορα *se ipsam invitantem, sponte venientem*: Doederleinius αὐτομήστορα, *quae suis potius quam mariti consiliis uti solet*, αὐθάδη: Haasius αὐτορήτορα. 22. Sic A Voss. Ars. Vulgo πονηρόν. 24. ἔργων Voss. 25. κοὔτ' ἄν A: χ' ὅταν vel χ' ὅταν Trinc. Gesn.: οὔτ' ἄν Grotius: κεὔτ' ἂν — ἕλκεσθαι Hermannus. Scripsi κοὐδ' ἢν, *ne saeva hieme quidem stupida mulier igni admovet sellam.* Ῥιγῶσα, v. Buttm. Gr. Max. I, 506. 27. Vulgo ἐκ θ., ἠδὺ, ἐν φρ. νόει: B νοεῖ. Correxi in Exx. Critt. I, 3. et non diu post Bergkius in Act. Soc. Gr. I, 201. Intellige ἔπλασαν. 29. Libri μέν: correxit Valckenarius. Hermannus retinet, jungens τὴν ἐκ θαλ. ἐπαινέσει. At in enumerandis singulis mulierculis hoc tenet poeta, ut ubique ἐποίησαν vel ἔπλασαν aut ponat aut intellectum velit. 32. Legebatur οὐδ' ἐν ὀφθ. ἰδεῖν. 34. Homer. Odyss. Τ, 14.

ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἔστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη·
ταύτῃ μάλιστ' ἔοικε τοιαύτῃ γυνή.
[ὀργὴν· φυὴν δ' ὡς πόντος ἀλλοίην ἔχει.]
Τὴν δ' ἐκ σποδιῆς τε καὶ παλιντριβέος ὄνου,
ἣ σὺν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις
ἔστερξεν ὧν ἅπαντα καὶ πονήσατο
ἀριστά· τόφρα δ' ἐσθίει μὲν ἐν μυχῷ
προνὺξ, προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ·
ὅμως δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόντ' ἑταῖρον ὀντινοῦν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος.
κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον
πρόσεστιν, οὐδὲ τερπνόν, οὐδ' ἐράσμιον·
ἐυνῆς δ' ἀδηνὴς ἐστιν ἀφροδισίης,

---

37. ἀτρέμας Valckenarius: Hesiod. Opp. 668. πόντος ἀπήμων, εὔκηλος. 41. Debebat poeta ὥσπερ θάλασσα — οὕτω γυνή. Immutavit structuram post longiorem verborum intercapedinem. 42. Versum inducendum docebam Exx. Critt. I, 3 sq. ex v. 11. temere consarcinatum. Doederleinius ἀλλοίην ex breviloquentia i. q. ἄλλοτ' ἀλλοίην esse monuerat de Brachylog. p. 9.; ὀργὴν φυὴν θ' ὡς π. ἀλλ. ἔχει ita interpretatur, ut internam externamque similitudinem poeta expresserit. Hermannus turbatum, qui ipsi videtur, versuum ordinem sic restituit:

ταύτῃ μάλιστ' ἔοικε τοιαύτῃ γυνὴ
ὀργήν· φυὴν δὲ πάντοθ' ἀλλοίην ἔχει,
ὥσπερ θάλασσα· πολλάκις μὲν ἀτρεμὴς
ἔστηκ', ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ· πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορευμένη.

43. Libri τὴν δ' ἔκ τε σποδιῆς: correxit Brunckius, qui ad Soph. O. C. 371. ἐκ τεφρῆς τε κ. volebat. Hesychius: τεφρόν· σποδιόν, φαιόν, πολιόν. Lege σποδῆς bisyllabos, v. Hermann. El. D. M. 54. παλιντριβής, v. Herm. Soph. Phil. 443. 45. Sic AB: ἔερξεν Voss. Ars. N Trinc.: ἔρεξεν Gesnerus. ὧν, v. Hartung. Particc. II, 18. 46. ἐσθίει, Hes. Opp. 705. 48. Alii ὅμως. 51. Gesnerus ἐφίμερον. 53. ἀδηνὴς i. q. ἀπειρος. Hesychius ἀδηνείη· ἀπειρία.

τὸν δ' ἄνδρα τὸν παρόντα ναυσίῃ διδοῖ·
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά,
ἄθυτα δ' ἱρὰ πολλάκις κατεσθίει.
Τὴν δ' ἵππος ἁβρὴ χαιτέεσσ' ἐγείνατο,
ἣ δούλι' ἔργα καὶ δύην περιτρέμει·
κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι,
οὔτε πρὸς ἱπνὸν, ἀσβόλην ἀλευμένη,
ἵζοιτ', ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἅπο ῥύπον
δίς, ἄλλοτε τρὶς, καὶ μύροις ἀλείφεται·
ἀεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ,
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνὴ
ἄλλοισι· τῷ δ' ἔχοντι γίγνεται κακὸν,
ἢν μή τις ἢ τύραννος, ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται.
Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδὸν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνὴ
εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως.

---

54. συνόντα Brunckius. δίδει A: τίει Grotius. 56. ἄθυστα Stobaeus: Athen. V, 179, D. Σιμωνίδης ἐφη περὶ τῆς ἀκόσμου γυναικός· ἄθυτα δ' ἱερὰ π. κ. Vide Lobeck. Parall. 432. *Impia mulier carnibus vescitur inauspicatis.*
57—70. affert Aelianus Hist. An. XVI, 24. cll. XI, 36. 57. A ἁβρὴ χαιτήεις: B χαιτήεσσ': Brunckius ἁβροχαιτόεσσ': Aeliani codd. ἁβρὰ χαιτάεσσ', ἁβρὴ χαιτήεσσ': nostrum Meinekius Quaest. Scenn. III, 63. cll. Herodian. περὶ μον. λέξ. 14. et Archilochi fr. 66, 8. 58. Libri περιτρέπει: conjiciunt παρεκτρέπει, παρατρέπει, περιπτύει: nos Exx. Critt. I, 4. περιτρέμει. Doederleinius περιτρέπει cll. Homerico περὶ δ' ἔτραπον ὧραι, idem esse statuit quod ἀποτρέπεσθαι, sed ut poeta jocose dicat i. q. nos *rechtsummachen*. 60. Vulgo κόσκινον ἄρειεν: κοσκίνου sex codd. Aeliani distinctione in fine versus posita; deinde ὔναρ εἶεν, εἶδεν, ὄναρις libri Aeliani, unde Jacobsio κοσκίνου ὔναρ εἶδεν (vel οἶδεν) revocandum videbatur; calidius secutus Welckerus. 70. τοιοῦτον sex codd. Aeliani: hinc Jacobsius suspicatur τοιοῦτον ῥυθμόν. 74. Post hunc versum Doederleinius inserit v. 79.

ἐπ' αὐχένα βραχεῖα κινεῖται μόγις,
ἄπυγος, αὐτόκωλος. ἃ τάλας ἀνὴρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
ἥνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει,
οὐδ' ὅν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ,
καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τι, χὡς μέγιστον, ἔρξειεν κακόν.
Τὴν δ' ἐκ μελίσσης. τὴν τις εὐτυχεῖ λαβὼν
εἰνὴ γὰρ οἴκῳ μῶμος οὐ προσιζάνει·
θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος·
γίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος·
ἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θεία δ' ἀμφιδέδρομεν χάρις·
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη,
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
Τὰ δ' ἄλλα φῦλα ταῦτα μηχανῇ Διὸς
ἔστιν τε τἀντα, καὶ παρ' ἀνδράσιν μένει.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακὸν,
γυναῖκας· ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἐχούσῃ τῷ μάλιστα γίγνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ πέλεται·
οὐδ' αἰνὰ λιμὸν οἰκίης ἀπώσεται,
ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεῶν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ

---

75. Cervice parva, vix ut inflecti queat, Grotius. 76. ἄπυγος, Goettling. Hesiod. Opp. 373. αὐτόκωλος, femina ossea, nihil nisi ossa habens. 97. ἔχοντί τοι Wintertonus: τῷ libri: τῳ Boissonadius. 100. πέλλεται Wintertonus: πίλναται Salmasius: defendunt vulgatum Brunckius et Welckerus. 101. ἐκ δόμων ἀπώσεται B. 102. Corrigunt θεόν: frustra. Dictum ut δῖα θεάων, φίλος ἀνδρῶν. Deus audit λιμός, ut Sophocli λοιμός, allis πενία, γάμος, πλοῦτος, χρόνος.

κατ' οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται.
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα φωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρὸς — οἱ δὲ γείτονες
χαίρουσ' ὁρῶντες καὶ τὸν, ὡς ἁμαρτάνει.
τὴν ἢν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακὸν,
καὶ δεσμὸν ἀμφέθηκεν ἀῤῥήκτον πέδῃ,
ἐξ οὗ τε τοὺς μὲν Ἅιδης ἐδέξατο
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

8.

Ἐρωδιὸς γὰρ ἔγχελυν Μαιανδρίην
τρίορχον εὑρὼν ἐσθίοντ' ἀφείλετο.

---

107. μολῶντα A. 108. δὲ τῳ Hermannus. 110. Pars lacunam statuit, alii τάχ' ἀνδρὸς volebant, Hermannus κεχ. μάλ' ἀνδρός valde admirante marito. Est aposiopesis: subaudi λωβᾶται vel simile quid: nam oscitante marito —. 111. ὡς ἁμαρτάνει, quantopere fallatur. 112. μεμνημένος, memor, Il. E, 263. T, 153. Hesiod. Opp. 392. 584. 656. 673. 116. πέδῃ Koelerus: Aesch. Prom. 6. ἀδαμαντίνων δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις. Vulgatum explicat Welckerus ἐδέσμευεν ἀῤῥήκτως πέδῃ cum Doederlein. Synonym. IV, 284. 117. Jupiter extremum malum maribus dedit mulieres, ex quo (tempore) alios Orcus recepit propter mulierculam (Helenam) rixatos, alios autem —: alterum membrum intercidit. Inde a bello Trojano, ait, cujus Helena mulier teterrima caussa fuit, feminae summum maribus malum.

Fr. 8. Athen. VII, 299, C. Σιμωνίδης δ' ἐν ἰάμβοις· Ὥσπερ ἔγχελυς κατὰ γλοιοῦ· καὶ τὴν αἰτιατικήν· Ἐρωδιὸς κτλ. Fabulam videtur narrasse poeta ignotam. In deliciis ἐγχελεὶς Μαιάνδριαι, v. Clem. Alex. Paedag. II, 164. Potter.

9.

Τί ταῦτα τῶν μακρῶν λόγων ἀνέδραμον;

10.

Οἷόν τε χηνὸς ὤεον Μαιανδρίου.

11.

Σπλάγχν' ἀμπέχοντες αὐτίκ' ἰκτίνου δίκην.

12.

Τόδ' ἡμῖν ἑρπετὸν παρέπτατο,
τὸ ζώϊον κάκιστον ἕκτηται βίον.

13.

Οὐκ ἄν τις οὕτω δασκίοις ἐν οὔρεσιν
ἀνὴρ λέοντ' ἔδεισεν οὐδὲ πάρδαλιν,
μοῦνος στενύγρῃ συμπεσὼν ἐν ἀτραπῷ.

Fr. 9. **Scholl. Eur. Phoen. 215.** *Σιμωνίδης ἐν τοῖς ἰάμβοις· Τί* κτλ. *ἀντὶ τοῦ ἀναδραμεῖν μέλλω.* Vide Bernhardy Synt. 382. Herm. Viger. 746.

Fr. 10. **Athen. II, 57, D.** *Σιμωνίδης ἐν δευτέρῳ ἰάμβων· Οἷόν τε* κτλ.

Fr. 11. **Choeroboscus apud Sturz. in Et. M. 902.** *Ἴκτινος ἡ εὐθεῖα· τούτου ἡ γενικὴ ἰκτίνου, ὡς παρὰ Σιμωνίδῃ· Σπλάγχν'* κτλ. **Lobeck. Parall. 170 sqq.**

Fr. 12. **Et. M. et Zonaras s. v.** *ζῳδίον: γράφεται διὰ τοῦ ἰῶτα, ἐπειδὴ εὕρηται κατὰ διάστασιν, ὡς παρὰ Σιμωνίδῃ, οἷον· Τόδ' ἡμῖν* (Zonar. *φησὶ γὰρ· τὸ δ' ἡμ.*) *ἑ. π. ζώϊον κάκιστον.* **Scholl. Vict. Il. Σ, 407.** *Σιμωνίδης φησί· τὸ ζῷον κάκιστον κέκτηται βίον, περὶ τοῦ κανθάρου.* **Bekkerus:** *ὃ ζωΐων κ. ἔκτηται β.* **Bergkius Anacr. 222.** *Τὸ γὰρ τόδ' ἡμ. ἑ. π., τὸ ζωΐον* κτλ. **Fortasse:** *Ἰδού, τόδ' ἡμῖν* κτλ.

Fr. 13. **Galenus XVII, 1, 897. Kuhn.** *Ὑπὸ τῶν Ἰώνων τὸ στενὸν ὀνομάζεσθαι στενυγρὸν μαρτύριόν ἐστιν αὔταρκες τὸ παρὰ Σιμωνίδῃ γεγραμμένον ἐν τοῖσδε τοῖς ἔπεσιν· Οὐκ ἄν τις* κτλ. *ταὐτὸν σημαίνει τῷ στενῇ.* **Rursus XVIII, 1, 411.** ubi addit: *ψιλοῦται δὲ δηλονότι κατὰ τὴν δευτέραν συλλαβήν.*

14.

Κηλειφόμην μύροισι καὶ θυώμασιν
καὶ βακκάρι· καὶ γάρ τις ἔμπορος παρῆν.

15.

Καὶ σαῦλα βαίνων, ἵππος ὡς κορωνίδης.

16.

Ἢ τυφλὸς ἢ τις σκνιπὸς ἢ μέγα βλέπων.

17.

Θύουσι Νύμφαις τῷ τε Μαιάδος τόκῳ·
*οὗτοι γὰρ ἀνδρῶν *αἷμ' ἔχουσι ποιμένων.*

18.

Ἐνταῦθα μέντοι τυρὸς ἐξ Ἀχαΐης
Τρομίλιος θαυμαστός, ὃν κατήγαγον.

Fr. 14. Clemens Alex. Paedag. II, 209. Potter. *Σιμωνίδης ἐν τοῖς ἰάμβοις οὐκ αἰδεῖται λέγων· Κηλειφόμην* κτλ. Cfr. Athen. XV, 690, C., unde Clementis *θυμιάμασι* emendatum. Hesychius: *Θύωμα· μῦρον, ἄρωμα.*

Fr. 15. Et. M. 270, 45. *Σαῦλον· τὸν τρυφερὸν καὶ γαῦρον. Σιμωνίδης ἐν ἰάμβοις· Καὶ* κτλ. Legebatur κορωνίτης: correxit Welckerus, cll. Lobeck. Soph. Aj. 879.

Fr. 16. Pollux II, 65. *Σκνιπόν· τὸν ἀμυδρῶς βλέποντα. Καὶ Σιμωνίδης ὁ ἰαμβοποιός· Ἢ* κτλ: Fortasse *παραβλέπων.* De v. *σκνιπός* v. Barker. in Et. M. 1089.

Fr. 17. Scholl. Odyss. Ξ, 435. *Καὶ Σιμωνίδης θύειν αὐτούς (τοὺς ποιμένας) φησι νύμφαις καὶ Μ.* τ. κτλ. Priorem versum constituit Barnesius. 2. Eustathius 1766, 1. *Οὗτοι φυλάττουσι τὸ ποιμενικὸν γένος καὶ οἷον ζωοῦσιν αὐτούς.* Welckerus: *Sui esse sanguinis deos suos credidernnt pastores.* Conjeci *τέρμ' ἔχ.*, cll. Simonid. Epigr. CLXXII, 4.

Fr. 18. Athen. XIV, 658, B. *Καὶ ὁ Τρομιλικὸς δὲ τυρὸς ἐνδοξός ἐστι· περὶ οὗ φησὶ Δημήτριος ὁ Σκήψιος ἐν δευτέρῳ Τρωϊκοῦ διακόσμου οὕτως· Τῆς Ἀχαΐας πόλις Τρομίλεια, περὶ ἣν γίνεται τυρὸς αἴγειος ἡδύστος, οὐκ ἔχων σύγκρισιν πρὸς ἕτερον, ὁ προαγορευόμενος Τρομιλικός· οὗ καὶ Σιμω-*

19.

Χὡς ἄφευσα χὡς ἐμίστυλα κρέα
ἰδώς· τί καὶ γὰρ οὐ καλῶς ἐπίσταμαι;

20.

Ἔδωκεν οὐδεὶς οὐδ' ἀρυστῆρα τρυγός.

21.

Αὕτη δὲ φοξόχειλος Ἀργείη κύλιξ.

22.

Ὁπλὰς ἐκίνει τῶν ὀπισθίων ποδῶν.

III. Hipponactis Ephesii.

Olymp. LX.

Suidas: *Ἱππῶναξ, πατρὸς Πύθεω καὶ μητρὸς Πρωτίδος, Ἐφέσιος, ἰαμβογράφος· ᾤκησε δὲ Κλαζομενὰς*

νίδης μνημονεύει ἐν ἰάμβῳ, οὗ ἡ ἀρχή· Πολλὰ μὲν δὴ προεκπονῇ (Coraës *Πολλόν με δεῖ προεκπονεῖν*) *Τηλέμβροτε, γράφων· Ἐνταῦθα κτλ.* Loqui videtur ἔμπορος.

Fr. 19. Athen. XIV, 659, D. *Οὐδὲν οὖν ἦν παράδοξον, εἰ καὶ θυτικῆς ἦσαν ἔμπειροι αἱ παλαίτεροι μάγειροι· προϊσταντο γοῦν καὶ γάμων καὶ θυσιῶν· — παρὰ δὲ Σιμωνίδῃ φησὶν ἕτερος· Χὡς κτλ.* 1. Libri χ' ὡσαφεὺς σαχῶς, χωσαφεὺς, χωσαρεὺς: correxit Bourdelotius.

Fr. 20. Athen. X, 424, C. *Καλοῦνται δὲ καὶ ἀρυστῆρες* (sc. ἀρυσάναι, h. e. κύαθοι) *καὶ ἀρύστιχοι. Σιμωνίδης· Ἔδωκεν κτλ.*

Fr. 21. Scholl. Ven. Il. *B*, 219. *Φοξός· εἴρηται ἀπὸ τῶν κεραμικῶν ἀγγείων τῶν ἐν τῇ καμίνῳ ἀπὸ τοῦ φωτὸς ἀπωξυμμένων, καθά φησι καὶ Σιμωνίδης· Αὕτη δὲ κτλ.* Athen. XI, 480, E. *φοξόχειλος*, v. Lobeck. Phryn. 663 sqq. et de v. φοξός Buttm. Lexil. I, 242.

Fr. 22. Scholl. Arist. Ach. 740. *Οὐ μόνον Ἀριστοφάνης ἐπὶ τῶν χοίρων τὰς ὁπλὰς εἴρηκεν, ἀλλὰ καὶ Σιμωνίδης ὁμοίως ἐπὶ χοίρου· Ὁπλὰς κτλ.*

ὑπὸ τῶν τυράννων Ἀθηναγόρα καὶ Κωμᾶ ἐξελαθείς· γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιοὺς ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο· οὗτος πρῶτος ἔγραψε παρῳδίαν καὶ χωλίαμβον καὶ ἄλλα.

Theocriti Epigramma.

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται·
εἰ μὲν πονηρὸς, μὴ ποτέρχεν τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ καρὰ χρηστῶ,
θαρσέων καθίζευ, κἂν θέλῃς, ἀπόβριξον.

I. Χωλίαμβοι.

1.

Ἐβῶσε Μαίας παῖδα, Κυλλήνης πάλμυν·
»Ἑρμῆ κυνάγχα, Μηονιστὶ Κανδαύλα,
φωρῶν ἑταῖρε, δηὖτέ μοι σκαπαρδεῦσαι.«

2.

Κίκων δ' ὁ πανδήλητος ἄμμορος καύης.

Hipponactis Ephesii Choliamborum Fr. 1. Tzetza Lycophr. 219. *Μαίας καὶ Διὸς Ἑρμῆς, ὡς ὁ Ἱππῶναξ ἐν τῷ κατὰ Βουπάλου πρώτῳ ἰάμβῳ· Ἐβόησε κτλ.* Correxi Exx. Critt. VII, 49. ubi docui huic versui addenda sqq. ex Tzetza in Chiliadd. apud Cramer. Ann. Grr. III, 351, 7. *Τὸ δὲ Κανδαύλης Λυδικῶς τὸν σκυλλοπνίκτην λέγει, ὥσπερ Ἱππῶναξ δείκνυσι γράφων ἰάμβῳ πρώτῳ· Ἑρμῆ κτλ.* 1. *Ἐβῶσε*, Bupalus. De v. *πάλμυς* v. fr. 8. 2. *κυνάγχα*, quod Jovis jussu Argum necasset, Tzetz. in Iliad. 153, 15., aliter Hesychius s. v. *Κυνάγχη· — οἱ δὲ τὸ Κυνάγχα ἀντὶ τοῦ κλέπτα. Κανδαύλας· Ἑρμῆς ἢ Ἡρακλῆς*, Hesychius. 3. Codd. *δεῦρο τί μοι*: emendavit Duebnerus. v. Hartung Particc. I, 322. *σκαπαρδεῦσαι* Tzetza explicat *συμμαχῆσαι*: rectius Hesychius *σκαπερδεῦσαι· λοιδορῆσαι.*

Fr. 2. Tzetza in Iliad. 78, 8. *Λάφνην οἱ ἱερεῖς τοῦ ἡλίου — στεφανούμενοι ἐπορεύοντο· καθὼς δηλοῖ καὶ Ἱππῶναξ ἐν τῷ κατὰ Βουπάλου ἰάμβῳ· Κίκων κτλ. Κίκων, ὄνομα μάντεως.* Libri *πανδάλητος, πανδαύλητος, πανδάλητος*, v. Hemsterhus. in Arist. Plut. Schol. 913. *καύης* dixit pro

3.

Κοραξικὸν μὲν ἡμφιεσμένη λῶπος.

4.

Βάλλοντες ἐν χειμῶνι καὶ ῥαπίζοντες
κράδῃσι καὶ σκίλλῃσιν, ὥσπερ φαρμακόν.

5.

Ὡς οἱ μὲν ἀγεῖ Βουπάλῳ κατηρῶντο.

6.

Τί τῷ τάλαντι Βουπάλῳ συνῴκησας;

---

vulgato καύηξ, v. Tzetz. Lyc. 741. Idem v. 424. *Καύηξ ὁ λάρος κατὰ Αἰνιᾶνας* (l. *Μαίονας*, h. e. *Λυδούς*), *ὡς φησι καὶ Ἱππῶναξ.*

Fr. 3. Tzetza Chill. X, 378. *Περὶ ἐρίων Κοραξῶν ἐν πρώτῳ δὲ ἰάμβῳ Ἱππῶναξ οὕτως εἴρηκε μέτρῳ χωλίῳ ἰάμβων· Κὸρ. κτλ.* Vide Naekium Choeril. 230. Casaubonum in Strabon. I, 612. Friedemann.

Fr. 4. Tzetza Chill. V, 23, 744. *Καὶ ἀλλαχοῦ* (cfr. fr. 18.) *δέ που φησι πρώτῳ ἰάμβῳ γράφων· Βάλλοντες κτλ.* Photius s. v. *Φαρμακός· τὸ κάθαρμα, βραχέως· οἱ δὲ Ἴωνες ἐκτείνοντες λέγουσι φάρμακον· οὗτοι γὰρ διὰ τὴν τῶν βαρβάρων παροίκησιν ἐλυμήναντο τῆς διαλέκτου τὸ πάτριον, τὰ μέτρα, τοὺς χρόνους· δηλοῖ καὶ Ἱππῶναξ.* Hinc teste Photio *Δίδυμος προπερισπᾶν ἀξιοῖ τοὔνομα· ἀλλ' ἡμεῖς οὐχ εὕρομεν οὕτω που τὴν χρῆσιν.*

Fr. 5. Tzetza Lycophr. 436. *Ὅτι δὲ ἀγὴς, ὁ μυσαρός, ἐξ οὗ λέγεται καὶ ὁ ἄγιος, ὁ μυσαρός, Ἱππῶναξ φησίν· Ὡς κτλ.* Vide Ruhnken. in Timaeum v. *ἅγος*, Naekium Choeril. 180. et Lobeck. Parall. 161 sq., qui *ἀγὴς* (quidam libri *ἀγεῖ*) ex *ἀαγής*, *ἀναγὴς* contractum arbitratur, unde produci potuerit *ᾱ*. *Ἀνδριάντα λίθινον* alicubi Bupalum vocasse videtur, v. Bekker. Ann. 82, 13., v. Bernhardy ad Suid. v. *Βησᾶς ἔστηκεν.*

Fr. 6. Choeroboscus Bekker. Anu. 1421 sq. *Ὅτι δὲ καὶ τοῦ τάλας τάλαντος ἦν ἡ γενικὴ, δηλοῖ ὁ Ἱππῶναξ εἰπών· Τί κτλ.*

7.

Ὦ Κλαζομένιοι, Βούπαλος κατεκτάνθη.

8.

Ὦ Ζεῦ πάτερ, θεῶν Ὀλυμπίων πάλμυ,
τί μ' οὐκ ἔδωκας χρυσὸν ἀργύρου, πάλμυ;

9.

Ἑρμῆ, φίλ' Ἑρμῆ, Μαιαδεῦ, Κυλλήνειε,
ἐπεύχομαί τοι, κάρτα γὰρ κακῶς ῥιγῶ·
Διὸς χλαῖναν Ἱππώνακτι καὶ κυπασσίσκον
καὶ σαμβάλισκα κἀσκέρισκα καὶ χρυσοῦ
στατῆρας ἑξήκοντα τοὐτέρου τοίχου.
Ἐμοὶ γὰρ οὐκ ἔδωκας οὔτε * χλαῖναν
δασεῖαν, ἐν χειμῶνι φάρμακον ῥίγευς,
οὔτ' ἀσκέρῃσι τοὺς πόδας δασείῃσιν
ἔκρυψας, ὡς μή μοι χίμετλα ῥήγνυται.

Fr. 7. Rufinus de Metr. Com. 2712. Putsch. Legebatur *Κλαζομένοιοι* et *κατέκτειθεν*: Lewis in Mus. Philol. Cantabr. I, 288. *κατεκτείθη*.

Fr. 8. Tzetza Lycophr. 690. Ἡ λέξις τοῦ πάλμυς τῶν Ἰώνων ἐστίν· καὶ χρῆται ταύτῃ Ἱππῶναξ λέγων· Ὦ Ζεῦ κτλ. 2. τί μ' (μοι, v. Lobeck. Soph. Aj. 192.) οὐκ ἔδωκας χρυσὸν ἢ ἄργυρον Lobeckius: vulgatum explica χρυσὸν ἀντὶ ἀργύρου.

Fr. 9. Tzetzes Lycophr. 855. omisso tamen v. 2., qui accessit ex Prisciano de Metr. Com. 1328. Putsch. (II, 416. Krehl.) *Hipponactem etiam ostendit Heliodorus iambos et choliambos confuse protulisse:* Ἑρμῆ κτλ. Recte *Κυλλήνειε* removit Welckerus, v. Hermann. El. D. M. 144. 3. *κυπασσίσκον*, v. Harpocrat. v. *κυπασσίς*. 4. Tzetzes: *ἀσκέρισκα τὰ ὀρτάρια λέγονται*, h. e. *fasciae pedales*; alii *calceamenta villosa volunt*, v. Spohn. de extr. part. Odyss. 128., de v. *σαμβάλισκα* Bergk. Anacr. 101. 5. *τοὐτέρου τοίχου* quid sit obscurum. 6 sqq. adjunxi prioribus, a Tzetza paullo ante laudatos. *οὔτε χλαῖναν*: sic libri quidam: alii *χώλαιναν*, *τὰν χλαῖναν*: emendant *οὔτε πω χλ.*: debebant *κω*. 9. Alii *χίμ. γίγνηται*.

10.

Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός.

11.

Δύ' ἡμέραι γυναικὸς εἰσὶν ἥδιστα,
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν.

12.

Ἐρέω γὰρ οὕτω· Κυλλήνιε Μαιάδος Ἑρμῆ.

13.

Ἀπό σ' ὀλέσειεν Ἄρτεμις σὲ δὲ κἀπόλλων.

14.

Παρ' ᾧ σὺ λευκόπεπλον ἡμέρην μείνας
πρὸς μὲν κυνήσειν τὸν Φλυησίων Ἑρμῆν.

Fr. 10. Stob. Floril. XXIX, 42. *Ἱππώνακτος.* Hermannus El. D. M. 143. *μηδ' ἕεις*, de quo v. Herodian. *περὶ μον. λέξ.* 18, 28.

Fr. 11. Stob. Floril. LXVIII, 8. *Ἱππώνακτος.* 1. *εἰσὶν* A Trinc. Grotius: vulgo *ἐστιν*, schemate Pindarico, de quo v. Dissen. Pind. Ol. X, 6. Pyth. X, 71.

Fr. 12. Priscian. de Metr. Com. 1327. Putsch. (II, 413. Krehl.) »Heliodorus metricus ait: *Ἱππῶναξ πολλὰ παρέβη τῶν ὡρισμένων ἐν τοῖς ἰάμβοις.* Hoc est: *Hipponax multa praeteriit*, id est praetermisit, *praefinita in iambis. Hipponax* enim *in primo*: *Ἐρέω* κτλ. Iste enim versus quum sit choliambus, in quarto loco et in quinto habuit dactylos, quum in utroque debuerit a brevi incipiens pes poni.« Pravum versum condidisse videtur poeta traducturus Mercurii appellationem Epicis poetis usitatam, v. Hermann. Opuscc. II, 259.

Fr. 13. Tzetza in Crameri Anecdd. III, 310, 17. *Στίχοι Ἱππώνακτος τρισυλλάβους ἔχοντες τοὺς παραλήγοντας πόδας· Ἀπό σ'* κτλ. Tzetza hic et in Il. 83, 25. *σὲ δὲ κ' ὠ πόλλων*: correxi. Lewis Mus. Philoll. Cantabrig. I, 288. *Ἄρτ. τε κἀπόλλων*: Welckerus *σὲ τὲ χὠπόλλων*. Ceterum cfr. Archilochi fr. 23.

Fr. 14. Tzetza in Iliad. 83, 28. *Καὶ ἀλλαχοῦ· Παρ' ᾧ* κτλ. 2. *κυνήσεις* Welckerus.

15.

Συκέην μέλαιναν, ἀμπέλου κασιγνήτην.

16.

Ὁ μὲν γὰρ αὐτῶν ἡσυχῇ τε καὶ ῥύδην
θύνναν τε καὶ μυττωτὸν ἡμέρας πάσας
δαινύμενος, ὥσπερ Λαμψακηνὸς εὐνοῦχος,
κατέφαγε δὴ τὸν κλῆρον· ὥστε χρὴ σκάπτειν
* * *
πέτρας τ' ὀρείας, σῦκα μέτρια τρώγων,
καὶ κρίθινον κόλλικα, δούλιον χόρτον.

17.

Οὐκ ἀτταγᾶς τε καὶ λαγὼς καταβρύκων,
οὐ τηγανίτας σησάμοισι φαρμάσσων,
οὐδ' ἀττανίτας κηρίοισιν ἐμβάπτων.

18.

Ὁ δ' ἐξολισθὼν ἱκέτευε τὴν κράμβην

Fr. 15. Athen. III, 78, B. *Καὶ ταύτας Ἀμαδρυάδας νύμφας καλεῖσθαι καὶ ἀπ' αὐτῶν πολλὰ τῶν δένδρων προσαγορεύεσθαι. ὅθεν καὶ τὸν Ἱππώνακτα φάναι· Συκῆν* κτλ.

Fr. 20. Hephaest. 76. Δύναται καὶ μέχρι τοῦ ἑξαμέτρου προκόπτειν τὸ μέτρον διὰ τὸ τρικοντάσημον μὴ ὑπερβάλλειν· καὶ εἴη ἂν ἑξάμετρον καταληκτικὸν τὸ καλούμενον τοῦ Ἀλκμᾶνος ἐκ μόνων ἀμφιμάκρων· Ἄφρ. κτλ. 1. παῖς παίσδει Bentlejus: libri οἷα παίσδει vel παίσδα. 2. Vide Hesiodi fr. CLVI. Goettling. et Agathonem Platonis Sympos. 195, D sqq. καβαίνων, Buttm. Gr. Max. II, 297. τῶ κυπαιρίσκω Welckerus cum Ursino (κυπαρίσσω): vulgo τῷ κυπαιρίσκῳ.

Fr. 21. Crameri Ann. I, 287, 4. Καὶ εἶκα, ὃ σημαίνει τὸ ὁμοιῶ· Οἴκας κτλ. παρὰ Ἀλκμᾶνι. Choeroboscus Bekkeri Ann. 1294, 5. Ἧκα, ὃ σημαίνει τὸ ὁμοιῶ· Εἴκας κτλ. ἀντὶ τοῦ ὡμοίωσαι. Ibid. Ind. v. Οἴκας· παρ' Ἀλκμᾶνι ἀντὶ τοῦ ὅμοιος εἶ. Denique Crameri Ann. IV, 368, 19. Εἶκα σημαίνει τὸ ὁμοιῶ, ὡς παρ' Ἀλκμᾶνι· Εἶκα μὲν κτλ. ἀντὶ τοῦ ὁμοιῶμαι (sic). Ibidem 415, 30. Εἴκας παρ' Ἀλκμᾶνι.

VI. Ἄδηλα. Fr. 22. Athen. XV, 682, A. Τῶν καλχῶν

23.

Δύσπαρις, Αἰνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρᾳ.

24.

Καί ποτ' Ὀδυσσῆος ταλασίφρονος ὠτά θ' ἑταίρων
Κίρκη ἐπαλείψασα.

25.

Τίς δ' ἄν, τίς ποκα ῥᾳ̃ ἄλλω νόον ἀνδρὸς ἐπίσποι;

26.

Καὶ τὸν ποικίλον ἶκα, τὸν ὀφθαλμῶν ὑλετῆρα.

27.

Οὐ γὰρ πορφύρας τόσσος κύρος, ὥστ' ἀμύνασθαι.

μέμνηται καὶ Ἀλκμᾶν ἐν τούτοις· Χρύσεον κτλ. χρύσιον B. τε addidit Mitscherlichius Hymn. Hom. Cer. 10.: ῥαδινὰν π. καλχὰν B. Cant. Ursinus, L: ῥαδινᾶν π. καλχᾶν Dalecampius.

Fr. 23. Scholl. Ven. Il. Γ, 39. Δύσπαρι: ἐπὶ κακῷ ὠνομασμένε Πάρι, κακὲ Πάρι. Καὶ Ἀλκμᾶν φησί· Δύσπαρις κτλ. Fortasse ex Parthenio.

Fr. 24. Scholl. Vict. Il. Π, 236. Καὶ Ἀλκμὰν γὰρ φησί· Καί ποτ' κτλ. οὐ γὰρ αὐτὴ ἤλειψεν, ἀλλ' ὑπέθετο Ὀδυσσεῖ.

Fr. 25. Apollonius de Adv. 566, 11. Bekker. Ἑξῆς ῥητέον καὶ περὶ τοῦ ΡΑ. Ἀλκμάν· Τίς ἄν, τίς ποκα ῥὰ ἄλλω κτλ. Disputavi de h. l. Exx. Critt. III, 14 sq. ῥᾳ̃ est i. q. ῥᾳδίως, v. Strabonis Sophoclem et Ionem VIII, 364. et Lobeck. Parall. 119. Codex ἀλλα: mutavit Bekkerus.

Fr. 26. Ammonius v. ἴπες· — ἶκες τὰ διεσθίοντα τοὺς ὀφθαλμοὺς τῶν ἀμπέλων. Καὶ ποικίλον κτλ. Inseruí τὸν, ejeci ἀμπέλων post v. ὀφθαλμῶν vulgo lectum Exx. Critt. III, 15. assentientem nactus Lobeck. Parall. 104.

Fr. 27. Scholl. L. Il. Ε, 266. Φησὶν ὁ γραμματικὸς Ἀριστοφάνης τὸ ἀμύνεσθαι οὐ μόνον δηλοῖνειν τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τίθεσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι· φέρει γὰρ χρῆσιν ἔκ τε Ἀλκμᾶνος τὸ· Οὐ γὰρ κτλ. καὶ Θουκυδίδου· Ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνασθαι. Ex Parthenio, opinor. τόσος Bekkerus. Metrum incertum.

28.

Μῶσ' ἄγε, Καλλιόπα, θύγατερ Διός,
ἀρχ' ἐρατῶν ἐπέων, ἐπὶ δ' ἵμερον
ὕμνον καὶ χαρίεντα τίθει χορόν.

29.

Γαῖα μὲν Ἄκμον' ἔτικτ'· ἀπὸ δ' Ἄκμονος
Οὐρανός.

30.

Πάρ θ' ἱερὸν σκόπελον παρά τε Ψύρα.

31.

Εἶπατέ μοι τάδε, φῦλα βροτήσια.

Fr. 28. Hephaestio 40. *Ἀλκμὰν καὶ ὅλας στροφὰς τούτῳ τῷ μέτρῳ κατεμέτρησε· Μῶσ' ἄγε κτλ.* Eadem Maximus Planudes V, 510. Walz. 3. *ἐπὶ δ' ἱερὸν ὕμνον* Maximus: *ἐπὶ δ' ἵμερον ὕμνῳ* Hephaestio et Arsenius Viol. 360. Probato ὕμνον sic intelliges: *ἐφίμερον δὲ τίθει ὕμνον καὶ χορὸν τίθει ἱμερόεντα;* dativo praelato: *ἐπιτίθει ἵμερον ὕμνῳ καὶ τίθει χορὸν ἱμερόεντα.* Duriusculum utrumque: illud minus, opinor.

Fr. 29. Scholl. in Simmiae Alas I, 2. p. 8. Jacobs. *Ἀκμονίδαν τὸν οὐρανόν· Ἡσίοδος· Γαῖα μὲν κτλ.* Eustath. Il. 1154, 25. *Ὅτι Ἀκμονίδαι οἱ οὐρανίδαι, δηλοῦσιν οἱ παλαιοί· ὡς δὲ Ἄκμονος ὁ οὐρανὸς ὁ Ἀλκμάν φασιν ἱστορεῖ.* Alcmani jure hinc vindicavit Hermannus Opusce. VI, 271. Cfr. Antimachi fr. XXIV. Schellenberg.

Fr. 30. Scholl. Odyss. Γ, 171. *Ψυρία νησίδιον Χίου φασὶν ἀπέχον σταδίους ὀγδοήκοντα, λιμένα ἔχον νεῶν εἴκοσι· λέγεται δὲ καὶ οὐδετέρως τὰ Ψύρα, ὡς Ἀλκμάν· Παρά τε κτλ.* Vulgo haec cum Cratineo proverbio *Ψύρα τὸν Διόνυσον ἄγοντες* pessime confusa, v. Exx. Critt. III, 13 sq. Fortasse *Πὰρ Γιερὸν σκ.* scribendum, cfr. Gies. de Dial. Aeol. 411.

Fr. 31. Aristides II, 378. Iebb. (II, 509. Dindorf.) *Ἀλλαχοῦ δὲ (ὁ Ἀλκμὰν) οὕτω σφόδρα ἐνθεος γίγνεται ὥστε φαίης ἂν ὅτι οὐδ' οὐτωσὶ κατὰ τὸ ῥῆμα ἔνθεός ἐστιν, ἀλλ' αὐτὸ δὴ τοῦτο ὥσπερ θεὸς τῶν ἀπὸ μηχανῆς λέγει· Εἶπατε κτλ.*

32.

Οἷα Διὸς θυγάτηρ Ἔρσα τρέφει καὶ Σελάνας δίας.

33.

Μέγα γείτονι γείτων.

34.

Οὐ γὰρ ἐγωνγαί, ἄνασσα, Διὸς θύγατερ.

35.

Πρὸς δὲ τὲ τῶν φίλων.

36.

Ὑμέ τε καὶ σφετέρως ἵππως.

37.

Σφεὰ δὲ προτὶ γούνατα πίπτω.

38.

Μάγαδιν δ' ἀποθέσθαι.

Fr. 32. Plutarch. Morall. II, 659, B. *Δροσοβολεῖ ταῖς πανσελήνοις μάλιστα διατηκόμενος (ὁ ἀήρ), ὥς που καὶ Ἀλκμὰν ὁ μελοποιὸς αἰνιττόμενος τὴν δρόσων ἀέρος θυγατέρα καὶ Σελήνης· Οἷα, φησί, Διὸς κτλ.* Cfr. 918, A. 940, A. Valckenarium Diatr. Eurip. 48. Welckerus *ἡ δὲ Σελ.* in gratiam hexametri.

Fr. 33. Scholl. Vict. Il. X, 305. *Λείπει τὸ ἀγαθόν, ὡς Ἀλκμάν· Μέγα κτλ.*

Fr. 34. Apollon. de Pron. 324, B. *Οἱ αὐτοὶ Δωριεῖς ΒΓΩΝΓΑ καὶ ΕΓΩΝΗ· Οὐ γὰρ κτλ. Ἀλκμάν.*

Fr. 35. Apollonius de Pron. 366, C. *Η ΣΕ ὁμοίως πρὸς πάντων κοινή· Δωριεῖς διὰ τοῦ τ· — Πρὸς κτλ. Ἀλκμάν.*

Frr. 36. 37. Apollonius de Pron. 399, B. *Πλεῖστα γοῦν ἐστι παρ' ἑτέροις εὑρεῖν, σφέτερον πατέρα, ἀντὶ τοῦ ὑμέτερον. — Ἀλκμάν· Ὑμέ κτλ.*

Fr. 38. Athen. XIV, 636, F. *Ἀπολλόδωρος ἐν τῇ πρὸς τὴν Ἀριστοκλέους ἐπιστολὴν ἀντιγραφῇ ἣ νῦν, φησὶν, ἡμεῖς*

39.

Ἔχει μ' ἄχος, ὦ ὀλὲ δαῖμον.

40.

(Μνάμα) παλίδορκος.

41.

Ῥιπᾶν ὄρος ἐνθέον ὕλᾳ,
Νυκτὸς μελαίνας στέρνον.

42.

Μῶσα, Διὸς θύγατερ,
ὠρανίαφι λίγ' ἀείσομαι.

λέγομεν ψαλτήριον, τυῦτ' εἶναι μάγαδιν, ὁ δὲ κλεψίαμβος κληθεὶς ἔτι δὲ ὁ τρίγωνος καὶ ὁ ἔλυμος καὶ τὸ ἐννεάχορδον ἀμαυρότερα τῇ χρείᾳ καθέστηκε. Καὶ Ἀλκμὰν δέ φησι Μάγαδιν κτλ.

Fr. 39. Ann. Oxonn. I, 442, 11. Τὸ· ὦ ὀλὲ δαῖμον κητικὸν ἐκ τοῦ ὀλεὸς συγκέκοπται. Ex Herodiano περὶ παθῶν Et. M. 622, 47. Οὐκ ἔστι συγκοπή· οἷον Ἔχει μ' ἄχος ὦ ὀλὲ δ. Alcmani vindicat Grammaticus Ann. Oxx. II, 461, 32. (Bekkerus in Scholl. Il. *K*, 134.) Οὐδὲ τὸ Ἀλκμανικὸν ἔχοι μάχης ὦ λε'δαῖμον· τοῦ γὰρ ὅλωλε συγκοπή ἐστιν. Quod vulgo οὖλος, Alcman ὀλὸς dixit.

Fr. 40. Etym. Gud. 395, 52. Μνήμη, μενήμη· Ἀλκμὰν δέ, φασὶ, δόρκον αὐτὴν καλεῖ· βλέπομεν γὰρ τῇ διανοίᾳ τὰ ἀρχαῖα. Emperius παλίδορκον. Nisi vocavit παλαίδορκον. Vide Exx. Critt. III, 11.

Fr. 41. Scholl. Soph. O. C. 1248. Νυχιᾶν ἀπὸ Ῥιπᾶν: — λέγει δὲ αὐτὰ ἐννύχια, διὰ τὸ πρὸς τῇ δύσει κεῖσθαι· μέμνηται δὲ καὶ Ἀλκμὰν λέγων οὕτως· Ῥιπᾶς κτλ. 1. Vulgo Ῥιπᾶς (sic Brunckius: libri Ῥιπὰς) ὄρος ἔνθεον ὕλας: Ῥιπᾶν — ἀνθέον Lobeckius Phryn. 281., v. Hom. Hymn. Bacch. V, 8: posui ἐνθέον, quod poterat Aeolice efferri, ut κρέτος. ὕλαι codex Romanus, Ursinus. De Rhipis, ὄρεσι Σκυθίας Cramer. Aun. I, 24, 15., v. Voelckeri Geogr. Myth. 157.

Fr. 42 Scholl. Ven. A Il. *N*, 588. Τῇ φι παραγωγῇ κέχρηται ἐπὶ κλητικῆς Ἀλκμὰν ὁ μελοποιὸς οὕτως· Μῶσα κτλ. ἔστι γὰρ οὐρανία. Apollonius de Adv. 575, 29. Ἔστι δὲ

43.

Εὕδουσιν δ' ὀρέων κορυφαί τε καὶ φάραγγες,
πρῶνές τε καὶ χαράδραι,
φῦλά τε ἕρπετ' ὅσα τρέφει μέλαινα γαῖα,
θῆρές τ' ὀρεσκῷοι,
καὶ γένος μελισσῶν,
καὶ κνώδαλ' ἐν βένθεσσι πορφυρέης ἁλός·
εὕδουσιν δ' οἰωνῶν
φῦλα τανυπτερύγων.

44.

Ἥρα τὸν Φοῖβον ὄνειρον εἶδον.

45.

(*Τύχα*) *Εὐνομίας*
καὶ Πειθοῦς ἀδελφὰ καὶ Προμαθείας θυγάτηρ.

καὶ παρ' Ἀλκμᾶνι καὶ κατὰ κλητικῆς τὸ οὐρανία οὐρανίαφιν. Male sana doctrina: *ὠρανίαφι* esse i. q. *οὐρανίᾳ* (ut Pindar. Ol. IX, 110. *δαιμονίᾳ γεγάμεν*, ut *θεσπεσίῃ* Homeri) vidit Buttmannus Gr. Max. I, 205. Explica: *Musa, filia Jovis, divinitus sonore canam*, v. Exx. Critt. III, 11 sq.

Fr. 43. Apollonius Lex. Hom. 101, 18. Bekker. *Ἔνιοι θῆρας μὲν καὶ θηρία λέγοντες λέοντας καὶ παρδάλεις καὶ λύκους καὶ πάντα τὰ παραπλήσια τούτοις, ἑρπετὰ δὲ πάλιν κοινῶς τὰ γένη τῶν ὄφεων, κνώδαλα δὲ τὰ θαλάσσια κήτη, φαλαίνας καὶ ὅσα τοιαῦτα, καθάπερ καὶ Ἀλκμὰν διαστέλλει λέγων οὕτως· Εὕδουσιν κτλ.* Codex *φάλαγγες, πρωτονέστε καὶ χ.*, unde Villoisonus *πρώονες*: tum 3. *φῦλά τε ἑρπετὰ θ' ὅσα*: Schoemannus *φῦλά τε ἑρπετὰ τόσσα τρ.* Nobis quod dedimus placuit, ne syllaba ante v. *τρέφει* corriperetur. Denique 6. codex *κνώδαλα ἐν βένθεσι πορφυρῆς.*

Fr. 44. Apollonius Dysc. 490, 11. *Παρ' Ἀλκμᾶνι* (est *ἥρα* i. q. *ἄρα*)· *Ἥρα κτλ.* Vide Hartung. Particc. I, 451. Ad sententiam cfr. Alcaei fr. XCIV. Matth.

Fr. 45. Plutarch. Morall. II, 318, A. *Ἡ Τύχη οὐκ ἀπειθὴς* (*οὐ μεγαπενθὴς* Ursinus, vulgo *οὐκ ἀπευθὴς*) *κατὰ τὸν Πίνδαρον* (Hymn. fr. 11.) *οὐδὲ δίδυμον στρέφουσα πηδάλιον, ἀλλὰ μᾶλλον Εὐνομίας κτλ. ὡς γενεαλογεῖ Ἀλκμάν.* Legebatur *ἀδελφὴ* et *Προμηθείας.*

46.

Πειρά τοι μαθήσιος ἀρχά.

47.

Ἁ Μῶσα κεκλήγει, λίγεια Σειρήν.

48.

* *Ἐπῆγε δὲ καὶ μέλος Ἀλκμὰν*
*εὗρέ τε * γλωσσάμενον κακκαβίδων*
ὄνομα συνθέμενος.

49.

Οἶδα δ' ὀρνίχων νόμως
πάντων.

Fr. 46. Scholl. Pind. Isthm. I, 56. *Ὁ παθὼν καὶ τῷ νῷ προμαθὴς γίνεται· Ἀλκμάν· Πειρά τοι κτλ.* Ut illud *Ῥεχθὲν* (παθὼν Hesiodus) *δέ τε νήπιος ἔγνω, πάθος μάθος*, similia.

Fr. 47. Aristides II, 877. Iebb. (II, 508. Dindorf.) *Ἀκούεις δὲ καὶ τοῦ Λάκωνος λέγοντος εἰς αὐτόν τε καὶ τὸν χορὸν Ἁ Μῶσα κεκλ. ἡ λ. Σ.* Articulos delebat Hermannus. Aristides postea: *Προστίθει δὲ κἀκεῖνο, ὅτι αὐτῆς τῆς Μούσης δεηθεὶς κατ' ἀρχὰς ὁ ποιητὴς, ἵν' ἐνεργὸς ὑπ' αὐτῆς γένοιτο, εἶτα ὥσπερ ἐξέστη καὶ φησὶν ὅτι τοῦτο ἐκεῖνο χορὸς αὐτὸς ἀντὶ τῆς Μούσης γεγένηται.*

Fr. 48. Athenaeus IX, 390, A. *Καλοῦνται οἱ πέρδικες ὑπ' ἐνίων κακκάβαι, ὡς καὶ ὑπ' Ἀλκμᾶνος λέγοντος οὕτως· Ἐπῆγε κτλ. σαφῶς ἐμφανίζων ὅτι παρὰ τῶν περδίκων ᾄδειν ἐμάνθανε. διὸ καὶ Χαμαιλέων ὁ Ποντικὸς ἔφη τὴν εὕρεσιν τῆς μουσικῆς τοῖς ἀρχαίοις ἐπινοηθῆναι ἀπὸ τῶν ἐν ταῖς ἐρημίαις ᾀδόντων ὀρνίθων, ὧν κατὰ μίμησιν λαβεῖν στάσιν τὴν μουσικήν*, cfr. Democr. Plut. Morall. II, 974, A. Lucret. V, 1378. Emperius in Zimmermanni Diar. Philoll. 1835, I, p. 6. *Ἔπη τε δὲ καὶ μ. | Ἀ. εὗρε, τὸ γλώσσαλγον ∪ ∪* (ποκα vel θάμα) | *κακκαβίδων στόμα συνθέμενος.* Nos Exx. Critt. III, 13. *Ἔπι δὲ κ. μ. Ἀ. | εὕρετο, γλώσσαργον ∪ ∪ κακκαβίδων | στόμα συνθέμενος.* Denique Hermannus apud Zimmerm. 1836, 67. p. 538. *Ἐπᾶγε δὲ κ. μ. Ἀ. | εὗρέ τε γλῶσσα νόμον, | κακκαβίδων ὅμαδον | συνθέμενος.* Ursinus omisso *δὲ καὶ* dedit *γλώσσᾳ μὲν τὸ κακκ.*, in notis *γλῶσσα μὲν τό.*

Fr. 49. Athen. IX, 374, D. *Οἱ Δωριεῖς λέγοντες ὄρνιξ τὴν*

50.

Δουρὶ δὲ ξυστῷ μέμηνεν Αἴας αἱματᾷ τε μίμνων.

51.

Ὅς ἐθεν πάλοις ἔπαλεν δαίμονάς τ' ἐδάσσατο.

52.

Κἠπὶ τᾷ μύλᾳ δρυφῆται κἠπὶ ταῖς συναικλίαις.

γενικὴν διὰ τοῦ χ λέγουσιν ὄρνιχος. Ἀλκμὰν δὲ διὰ τοῦ σ τὴν ῥυθεῖαν ἐκφέρει (v. fr. 9, 4.) *καὶ τὴν γενικὴν οἶδα »Αἰ' ὀρνίχων ὕμως πάντων.«* Codex B *νόμως*, v. Exx. Critt. III, 13. Correxit Hermannus l. c.

Fr. 50. Choeroboscus Bekkeri Ann. 1182. *Καὶ τὸ Αἴας τὸ παρ' Ἀλκμᾶνι ἔχομεν σεσημειωμένον ὡς συστέλλον τὸ ᾱ· ἐκεῖνος γὰρ συνέστειλεν αὐτὸ εἰπών· Δουρὶ δὲ ξ. μ. Αἴας αἷμα τά τε μέμνων· ἔστι δὲ τροχαϊκὸν τὸ μέτρον καὶ μετρεῖται οὕτως· δουρὶ | δὲ ξυσ | τῷ μέ | μηνεν | αἴας | αἵμα | τά τε | μέμνων. ἐν τῇ πέμπτῃ γὰρ χώρᾳ κεῖται, ἐν ᾗ οὐ τίθεται σπονδεῖος ἐν τροχαϊκῷ μέτρῳ.* Ea doctrina Herodiani erat, unde Excerpt. Oxonn. III, 283, 14. *τὸ· Δουρὶ δὲ ξυστῷ μέμηνεν Αἴας καὶ ὅσα τοιαῦτα, κατὰ πάθος.* Hermannus Praef. Drac. Straton. XX. rejecto hoc commento scribit: *Δουρὶ δὲ ξυστῷ μέμηνεν Αἴας | αἱματᾷ τε μίμνων.* Putaverim Alcmanem ausum esse.

Fr. 51. Scholl. Ven. A Il. *A*, 222. *Οὕτως δὲ δαίμονας καλεῖ θεοὺς ἤτοι ὅτι δαήμονες — ἢ ὅτι διαιτηταί εἰσι καὶ διοικηταὶ τῶν ἀνθρώπων, ὡς Ἀλκμὰν ὁ λυρικός φησιν· Ὅς ἐθεν κτλ. τοὺς μερισμούς, τὰς διαιρέσεις αὐτῶν.* Codex Venetus *Οἵ ἐθεν* et *τε δάσσαντο*: Grammaticus Crameri Ann. IV, 409, 16. *Οἱ ἔθεν πάλλοις ἔπαλλε δαίμονας, ἐδάσατο τοὺς μερισμοὺς καὶ τὰς διαιτήσας* (sic) *αὐτῶν.* Blomfieldius in Aesch. Prom. 85. *ὃς θεῶν πάλους ἔπ.* At *πάλοις* videtur accusativus aeolicus esse. Jovem dicit. Nisi *ἐδάσατο* Grammatici est.

Fr. 52. Athen. IV, 140, C. *Ἔτι φησὶν ὁ Πολέμων καὶ τὸ δεῖπνον ὑπὸ τῶν Λακεδαιμονίων ἄϊκλον προσαγορεύεσθαι, παραπλησίως ἁπάντων Δωριέων οὕτως αὐτὸ καλούντων. Ἀλκμὰν μὲν γὰρ οὕτω φησί· Κἠπὶ κτλ. οὕτω τὰ συνδείπνια καλῶν. Δρυφῆται* Hermanno descendit a v. *δρυφάω contero*, Welckero ab eo q. e. *θρύπτομαι molliter vivo*. Hesychius *δρυφάζω* pro vulgari *δρύπτω* commemorat.

53.

Ἄϊκλον Ἀλκμάων ἁρμόξατο.

54.

Νικῷ δ' ὁ καρρών.

55.

Ἕρπει γὰρ ἅντα τῷ σιδάρῳ τὸ καλῶς κιθαρίσδειν.

56.

Κλῖναι μὲν ἑπτὰ καὶ τόσαι τράπεσδαι
μακωνίδων ἄρτων ἐπιστέφοισαι
λίνῳ τε σασάμῳ τε, κἠν πελίχναις
παίδεσσι χρυσόκολλα.

57.

Θριδακίσκας τε καὶ κριβανωτώς.

Fr. 53. Athen. l. c. *Καὶ πάλιν· Ἄϊκλον κτλ.*

Fr. 54. Apollon. Syntax. III, 212, 9. Bekker. *Τὸ παρ' Ἀλκμᾶνι· Νικῷ κτλ. Utinam vincat melior.*

Fr. 55. Plutarchus Lycurg. XXI. *Μουσικωτάτους ἅμα καὶ πολεμικωτάτους ἀποφαίνουσιν αὐτούς* (Spartanos). — *Ἕρπει κτλ., ὡς ὁ Λακωνικὸς ποιητὴς εἴρηκε.* Libri *τῷ σιδάρῳ* et *κιθαρίσδειν*. Correxit Welckerus.

Fr. 56. Athen. III, 110, F. *Μακωνίδων ἄρτων μνημονεύει Ἀλκμὰν ἐν τῷ πέμπτῳ οὕτως· Κλῖναι κτλ.* (*ἐστὶ βρωμάτιον διὰ μέλιτος καὶ λίνου*). 2. *ἐπιστέφοισαι* i. e. *ἐπιστεφεῖς οὖσαι.* 3. Legebatur *λίνῳ τε σασάμῳ τε.* 4. *παίδεσσι* Schweighaeuserus: libri *πέδεσσι*. Describi *κοπίδα* censet Muellerus Dorr. II, 277.

Fr. 57. Ath. III, 114, F. *Αἱ παρ' Ἀλκμᾶνι θριδακίσκαι λεγόμεναι αἱ αὐταί εἰσι ταῖς Ἀττικαῖς θριδακίναις. λέγει δὲ οὕτως ὁ Ἀλκμάν· Θριδ. κτλ. Σωσίβιος δ' ἐν τρίτῳ περὶ Ἀλκμᾶνος κρίβανα φησὶ λέγεσθαι πλακοῦντάς τινας τῷ σχήματι μαστοειδεῖς.* Addit Sosibius XIV, 616, A. *χρῆσθαι αὐτοῖς Λάκωνας πρὸς τὰς τῶν γυναικῶν ἑστιάσεις, περιφέρειν τε αὐτοὺς* (*τοὺς κριβάνας*) *ὅταν μέλλωσιν ᾄδειν τὸ παρεσκευασμένον ἐγκώμιον τῆς παρθένου αἱ ἐν τῷ χορῷ ἀκόλουθοι, κριβανωτώς* Dindorfius ex P; vulgo *κριβανωτός*.

58.

Οἶνον δ' Οἰνουντιάδαν ἢ Λένθιν ἢ Καρύστιον
ἢ Ὀνογλιν ἢ Σταθμίταν.

59.

Ὥρας δ' ἔσηκε τρεῖς, θέρος
καὶ χεῖμα κὠπάραν τρίταν
καὶ τέτρατον τὸ ἦρ, ὄχα
σάλλει μὲν, ἐσθίειν δ' ἄδαν
οὐκ ἔντι.

60.

Ἴδη παρέξει πυάνιόν τε πόλτον
χίδρον τε λευκὸν κηρίναν τ' ὀπώραν.

Fr. 58. Ath. I, 31, C. *Ἀλκμὰν που ἄπυρον οἶνον καὶ ἄνθεος ὄσδοντά φησι τὸν ἐκ Πέντε Λόφων, ὃς ἐστι τόπος Σπάρτης ἐπέχων σταδίους ἑπτά· καὶ τὸν ἐκ Λενθιάδων, ἐρύματός τινος, καὶ τὸν ἐκ Καρύστου, ὃς ἐστι πλησίον Ἀρκαδίας, καὶ τὸν ἐξ Οἰνοῦντος, καὶ τὸν ἐξ Ὀνόγλων καὶ Σταθμῶν. χωρία δὲ ταῦτα τὰ καὶ πλησίον Πιτάνης. φησὶ γοῦν· Οἶνον κτλ.* 1. Legebatur *Οἰνουντιάδην*: B *οἰνουντιάδα*. Hesychius *Λένθις· οἶνος. Λάκωνες.* 2. Porsonus: *Hesychius Ὀνίγλιν (Ὀνίγλη Musurus) εἶδος οἴνου, accentu tantum male collocato. Utra scriptura rectior sit, per* α *an* ο *nescio.* Ceterum *Λένθιν* et *Ὀνόγλιν* dixit pro eo q. e. *Λενθιάδην, Ὀνογλίτην.*

Fr. 59. Athen. X, 416, C. post allatum fr. 13. *Κἂν τῷ πέμπτῳ δὲ ἐμφανίζει αὐτοῦ τὸ ἀδηφάγον λέγων οὕτως· Ὥρας κτλ.* 2. *χειμάχῳ παρ αν τρίταν* A: *χειμάχω παραντρίταν* B: *χιμάλῳ πάραν τρίταν* P: *χιμὰν, ὠπώραν τρ.* Ursinus: emendavit Schweighaeuserus, qui tamen *χὠπάραν* dedit, *κὠπάραν* Welckerus, *κὠπώραν* Dindorfius. 3. *ἦρ ὄχα* Schweigh.: *ηρυκας* A: *τὸ κρόκας* PVL: *ἦρ* lege *Fῆρ.* 4. *σάλλει μὲν* Porsonus Miscell. 241. Libri *ἀλλ' εἰ μέν.* Idem *ἐσθίειν δ' ἄδαν*: *ἔσθει ἐν δάδαν* PVL: Ursinus *ἔσθει, ἐνδάδαν οὐκ ἔσθει.* 5. Libri *ἔστε, ἔστιν.* Correxit Welckerus. De re v. Hymn. Hom. Cer. 400. Theocr. XV, 36 sq.

Fr. 60. Athen. XIV, 648, B. *Πόλτου μνημονεύει Ἀλκμὰν οὕτως· Ἴδη κτλ. ἐστὶ δὲ τὸ πυάνιον, ὥς φησι Σωσίβιος, πανσπερμία ἐν γλυκεῖ ἡψημένη· χίδρον δὲ οἱ ἑφθοὶ πυροί· κηρίναν δὲ ὀπώραν λέγει τὸ μέλι.*

61.

Ἀμὶν δ' ὑπαυλήσει μέλος.

62.

Τὰν Μῶσαν καταύσεις.

63.

Λεπτὰ δ' ἄταρπος, νηλεὴς δ' ἀνάγκα.

64.

Καὶ κῆνος ἐν σάλεσσι πολλοῖς ἵμενος μάκαρς ἀνήρ.

65.

Φρύγιον ἠύλησε μέλος τὸ Κιρβήσιον.

Fr. 61. Apollon. Pron. 383, B. *Ἡ ΑΜΙΝ Δωρικὴ ἐγκλινομένη συστέλλει τὸ ι, ἐν οἷς προπερισπᾶται· Αἰ γὰρ ἄμιν τούτων μέλοι· ὀξύνομέν τε· Ἀμὶν κτλ. Ἀλκμάν.*

Fr. 62. Eustath. Od. 1547, 59. *Λέγει καὶ Ἀλκμάν· Τὰν κτλ. ἀντὶ τοῦ ἀφανίσεις.* Hesychius *Καταῦσαι· καταπτίσαι, καταδῦσαι,* Arist. Nubb. 970. *τὰς Μούσας ἀφανίζων.*

Fr. 63. Ann. Oxx. I, 60, 20. *Ἐὰν ὦσιν ἐκ τοῦ ε οὐκ ἔτι* (sc. *γίνεται τροπὴ εἰς α μακρόν*), *ἔλατος ἱππήλατος. Ἀλκμάν· Λεπτὰ δ' ἄτ. ἀνηλὴς δ' ἀνάγκη, ἐκ γὰρ τοῦ ἐλεεινή* (f. *ἐλεεῖν*). Vide Exx. Critt. III, 15 sq. De tramite infernali videtur dixisse.

Fr. 64. Hephaestio 3. *Λήγει εἰς δύο σύμφωνα, οἷον· Καὶ κεῖνος ἐν σάλεσιν ἵμενος μάκαρς ἀνήρ,* ubi *σάλεσσιν* Pauwius (h. e. *θαλίῃ ἐνὶ πολλῇ*): *κῆνος* attestatur Apollon. Pron. 335, B. *Αἰολεῖς κῆνος, — Δωριεῖς τῆνος —, σπανίως διὰ τοῦ κ· Καὶ κεῖνος ἐν σάλεσιν πολλοῖς ἵμενος, Ἀλκμάν.* Idem 334, A. *Καὶ Ἀλκμὰν πρώτῳ· Μάκαρς ἐκεῖνος φησί.* Recte locum constituit Bergkius Anacr. 217. De forma *μάκαρς* similibusque v. Lobeck. Parall. 163. et nos Conj. Critt. I, 9 sqq.

Fr. 65. Strabo XII, 580. *Λέγεταί τινα φῦλα Φρύγια οἰθαμοῦ δεικνύμενα· ὥσπερ οἱ Βερέκυντες· καὶ Ἀλκμὰν λέγει· Φρύγιον κτλ. καὶ βόθυνός τις λέγεται Κερβήσιος ἔχων ὀλεθρίους ἀποφοράς.* Libri in versu poetae *Κερβήσιον, Κειβήσειον, Κειρβήσιον, Κειρβείσιον, Κερβείσιον,* Ursinus *Κιρβήσιον;* postea *Κερβήσιος.* Hesychius *Κερβεταῖαι· ἔθνος ἐχόμενον Λυδῶν.*

66.

Ἕκατον μὲν Διὸς υἱὸν
τάδε Μῶσαι χροκόπεπλοι.

67.

Ἄδοι Διὸς δόμῳ ὁ χορὸς ἀμὸς καὶ τοί, Φάναξ.

68.

*Ὅπως ἀνὴρ δ' ἐν * ἀσμένοισιν ἀλιτηρὸς*
ἦστ' ἐπὶ θάκοις κάτω πέτρας, ὀρέων μὲν οὐδέν,
δοκέων δέ.

69.

*Ὁπότε * ὑπὸ τοῦ Ἱπολόχου κλέος δ' ἔβαλλον*
οὐ νῦν ὕπαι στάντων.

70.

*Τῷ δὲ * σκομύνθεα κατ' ἀν κάρραν μάβως ἐπίαζε.*

Fr. 66. Hephaest. 66. *Ὅλα μὲν οὖν ἄσματα γέγραπται ἰωνικὰ, ὡς παρ' Ἀλκμᾶνι· Ἕκατον* κτλ. Welckerus tetrametrum dedit, quem Servius Centim. 1823. Putsch. Alcmanicum vocat.

Fr. 67. Apollon. Pron. 365, A. *Ὀρθοτονεῖται (τοὶ) καὶ παρ' Ἀλκμᾶνι, συνήθως Δωριεῦσιν· Ἄδοι* κτλ. Codex τοι γ' ἀναξ: restituit Maittarius.

Fr. 68. Scholl. Pind. Ol. I, 97. *Ἀλκαῖος καὶ Ἀλκμὰν λίθον φασὶν ἐπαιωρεῖσθαι τῇ Ταντάλῳ· ὁ μὲν Ἀλκαῖος —, ὁ δὲ Ἀλκμάν· Ὅπως* κτλ. In uno libro pro ὅπως erat ὅπη, in uno ἦσθ': tum ἐπιθάκας, ἐπὶ θάκας libri, quod Heynius emendavit: Hermannus κάτω pro vulg. κατά. *Ἐν ἀσμένοισιν* Welckerus refert ad conspectos a malefico *laetiores*; Ursinus ἡδιμένοισι vel ἐνέροισι desiderabat. Erat quum nobis ἓν ἀμενηνοῖσιν placeret. De v. ἀλιτηρός v. Doederlein. Soph. O. C. p. 320., de fabula Archilochi fr. 46.

Fr. 69. Ann. Oxx. I, 418, 3. *Λέγεται (ὕπαιθα) καὶ ἄνευ τῆς θα παρὰ Ἀλκμᾶνι καὶ σημαίνει τὸ πρότερον· Ὁποτε* κτλ. *ἀντὶ τοῦ πρότερον.* Legebatur ὑπεστάντων: Cramerus τοῦ νῦν ὕπαι στ. Cetera emendet qui velit et possit.

Fr. 70. Herodian. *περὶ μον. λέξ.* 44, 10. *Παρὰ Ἀλκμᾶνι διὰ τοῦ α (πιάζω)· τῷ δὲ* κτλ. Haec sanabunt eruditiores.

71.

Χαροπὰν κύνα·
χάλκεον δέ οἱ γναθμῶν ἐκ πολιᾶν φθεγγομένας
ὑπάκουε μὲν Ἴδα Τένεδός τε περιῤῥύτα
Θρηϊκιοί τε φιλάνεμοι πέτραι.

III. Arionis Methymnaei Hymnus. (?)

Olymp. XL.

Suidas: Ἀρίων, Μηθυμναῖος, λυρικός, Κυκλίως υἱός, γέγονε κατὰ τὴν λή (κή Gaisford. ex BE) Ὀλυμπιάδα. τινὲς δὲ καὶ μαθητὴν Ἀλκμᾶνος ἱστόρησαν αὐτόν. ἔγραψε δὲ ᾄσματα· προοίμια εἰς ἔπη β' (?). λέγεται καὶ τραγικοῦ τρόπου εὑρετὴς γενέσθαι, καὶ πρῶτος χορὸν στῆσαι, καὶ διθύραμβον ᾆσαι, καὶ ὀνομάσαι τὸ ᾀδόμενον ἀπὸ τοῦ χοροῦ (Welckerus Append. Trilog. Aesch. 232 sqq.), καὶ Σατύρους εἰσενεγκεῖν ἔμμετρα λέγοντας. φυλάττει δὲ τὸ ὦ καὶ ἐπὶ γενικῆς. Vide Herodotum I, 23 sq.

Fr. 71. Dio Chrys. XXXIII, 29. Rsk. *Καὶ μὴν οὐχ οὕτω δεινόν ἐστι εἰ ἄνθρωποι μεταξὺ προβάτων φωνὴν λάβοιεν οὐδ' εἰ βοῶσιν οὐδ' ἂν χρεμετίζωσιν οὐδ' ἂν ὑλακτῶσιν, ὥσπερ τὴν Ἑκάβην οἱ ποιηταὶ λέγουσιν, ἐπὶ πᾶσι τοῖς δεινοῖς τελευταίαν ποιῆσαι τὰς Ἐριννύας χαροπὰν κύνα* κτλ. Alcmani vindicat Welckerus Mus. Rhen. 1833, 430 sq. Cfr. fr. 23. 1. Hermannus Eurip. Hec. 1234: *Notatu dignum γναθμὸς femininum, si recte scriptum est nomen illud.* Ceterum Hermannus aliter constituit carmen. 1. Reiskius *φθεγγομένᾳ*. 2. Vulgo *ὑπακούσομεν Ἰδέους*: codex Urbinas *ὑπακούεμεν* (ed. Ven. *ὑπακουέμεν*) *Ἴδα Τένεδός τε*: emendavit Welckerus. De v. *περιῤῥύτα* v. Lobeck. Parall. 476: legebatur *περιῤῥυτά*, cfr. fr. 19. 3. Urb. Ven. *φιλίην ἔμοιγε*: emendavit Niebuhrius et Hermannus: Welckerus *φιλ. γε πέτραι*. Fortasse huc revocandum quod habent Ann. Oxx. I, 55, 21. *Σεσημείωται τὸ κάρχαρος· — καὶ τὸ θηλυκὸν παρ' Ἀλκμᾶνι· Καρχάρεσσι (καρχάραισι) φωναῖς*. Cfr. Lycophr. 1175 sqq.

Ὕψιστε θεῶν,
πόντιε χρυσοτρίαινε Πόσειδον,
γαιάοχε, κυμονάρχα·
βράγχιοι περὶ δὲ σὲ πλωτοὶ
θῆρες χορεύουσ' ἐν κύκλῳ, κούφοισι ποδῶν
ῥίμμασιν ἐλάφρ' ἀναπαλλόμενοι
σιμοὶ, φριξαύχενες, ὠκύδρομοι
σκύλακες, φιλόμουσοι
δελφῖνες, ἔναλα θρέμματα κουρᾶν
Νηρεΐδων θεᾶν,
ἃς ἐγείνατ' Ἀμφιτρίτα·
οἵ μ' εἰς Πέλοπος γᾶν ἐπὶ Ταιναρίαν
ἀκτὰν ἐπορεύσατε πλαζόμενον Σικελῷ ἐνὶ πόντῳ,
κυρτοῖσι νώτοις ὀχέοντες,

Arionis Methymnaei Hymnum tractavit Hermannus ad Aristotelis Poet. 235. Arionis vetusti illius esse demonstrabat Welckerus Mus. Rhen. 1833, 392 sqq. Non persuadet: venustus est et satis opinor vetustus. Servavit Aelianus Hist. An. XII, 45. Τὸ τῶν δελφίνων φῦλον ὡς εἰσι φιλῳδοί τε καὶ φίλαυλοι, τεκμηριῶσαι ἱκανὸς καὶ Ἀρίων ὁ Μηθυμναῖος, ἔκ τε τοῦ ἀγάλματος τοῦ ἐπὶ Ταινάρῳ, καὶ τοῦ ὑπ' αὐτοῦ γραφέντος ἐπιγράμματος· ἔστι δὲ τὸ ἐπίγραμμα·

Ἀθανάτων πομπαῖσιν Ἀρίονα, Κύκλονος υἱόν,
Ἐκ Σικελοῦ πελάγους σῶσεν ὄχημα τόδε.

Τιμον δὲ χαριστήριον τῷ Ποσειδῶνι καὶ μάρτυρα τῆς τῶν δελφίνων φιλομουσίας, οἱονεὶ καὶ τούτοις ζωάγρια ἐκτίνων, ὁ Ἀρίων ἔγραψε· καὶ ἔστιν ὁ ὕμνος οὗτος· Ὕψιστε κτλ. Epigramma et hymnum usque ad v. ἀναπαλλόμενοι apposuit Tzetza Crameri Ann. III, 352. De fabula v. Muelleri Dorr. II, 369.

2. Arist. Eqq. 559. ὦ χρυσοτρίαιν', ὦ δελφίνων μελέων. Hermannus χρυσοτρίαινα. 3. Vulgo γαιήοχ' ἐγκυμονάλμαν: hinc Hermannus ἐγκύμον' ἀν' ἅλμαν: Tzetzes γ. ἐγκίμου ἁλμὰς βράγχια. Ex Paris. b correxit Jacobsius: ego γαιάοχε dedi. In Vatic. videtur esse κυμοναλκές, ut est κεραλκής, τοξαλκής. 4. Il. N, 27. βράγχιοι h. l. *animalia quae branchia habent*: Reiskius βρύχιοι. 5. Duo libri cum Tzetza omittunt ἐν. Gesnerus πτερύγων volebat: pedes affinxit poeta delphinis, quia saltare facit. 6. ῥιπάσμασιν Tzetza, cujus codex B ῥιάσμασιν (sic). 7. Sic codd. bv: vulgo σεισμοί, unde Hermannus σεισμῷ. 9. ἔναλ' ἀθύρματα Valckenarius. 10. Νηρεΐδων codd. ma: vulgo Νηρηΐδων. 14. Libri χορεύοντες: Reiskius ὀχεύοντες: illud Brunckius.

ἄλοκα Νηρεΐας πλακὸς τέμνοντες, ἀστιβῆ πόρον·
φῶτες δόλιοι
ὡς μ' ἀφ' ἁλιπλόου γλαφυρᾶς
ναὸς ἐς οἶδμ' ἁλιπόρφυρον λίμνας ἔριψαν.

IV. Biantis Prienensis carmen.

Olymp. XL.

Suidas: *Βίαντος Πριηνέως δίκη* (Hipponactis fr. 31.). *οὗτος εἷς τῶν ἑπτὰ Σοφῶν· λέγεται δὲ τὰς δίκας δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ ἐχρῆτο.*

Ἀστοῖσιν ἄρεσκε πᾶσιν,
ἐν πόλει αἴκε μένῃς·
πλείσταν γὰρ ἔχει χάριν,
αὐθάδης δὲ τρόπος
πολλάκι βλαβερὰν
ἐξέλαμψεν ἄταν.

V. Pittaci Mitylenaei carmen.

Olymp. XLII.

Suidas: *Πιττακὸς, Μιτυληναῖος, υἱὸς Καΐκου ἢ Ὑρράδιου, Θρᾳκὸς, μητρὸς δὲ Λεσβίας. Οὗτος γέγονε*

---

16. Vulgo δ' ἕλιοι: Valckenarii correctionem firmant codd. bv. 17. ὡς μ' ἀφ' ἁλ. Hermannus: libri με ἀπὸ ἁλ. 18. Legebatur νεὼς εἰς οἶδμ'. Reiskius ἁλιπορφύρου. ἔριψαν Hermannus: libri ῥίψαν.

Biantis Prienensis cantilena est apud Diog. L. I, 85. Ἐποίησε περὶ Ἰωνίας, τίνα μάλιστα ἂν τρόπον εὐδαιμονοίη, εἰς ἔπη διςχίλια. τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε· Ἀστοῖσιν κτλ. 6. Mehlhornius ἄταν absolute positum arbitratur: *eminuit pernicioso malo*, h. e. insignem cladem tulit.

κατὰ τὴν λβ' Ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ἑπτὰ Σοφῶν ὤν. Ἔγραψε νόμους καὶ τῇ μβ' Ὀλυμπιάδι Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε, καὶ Φρύνωνα στρατηγὸν Ἀθηναίων πολεμοῦντα μετὰ τοῦ Σιγείου μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. Γηραιὸς δὲ ἀγωνιζόμενος στρατηγεῖν, ἔφη· Ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. Τούτου ἀπόφθεγμα· Καιρὸν γνῶθι. Ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χ'. Καὶ ὑπὲρ νόμων κατελογάδην.

Ἔχοντα δεῖ τόξα καὶ ἰοδόκον φαρέτραν
στείχειν ἐπὶ φῶτα κακόν· πιστὸν γὰρ οὐδὲν
γλῶσσα διὰ στόματος λαλέει,
διχόμυθον ἔχουσα κραδίῃ νόημα.

VI. Chilonis Lacedaemonii carmen.

Olymp. XLII.

Suidas: Χίλων, Δαμαγήτου, Λακεδαιμόνιος, εἷς τῶν ἑπτὰ Σοφῶν, ὃς ἦν βραχυλόγος. Ὅθεν Ἀριστα γόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ.

Ἐν λιθίναις ἀκόναις
ὁ χρυσὸς ἐξετάζεται διδοὺς βάσανον φανεράν·
ἐν χρυσῷ δ' ἀνδρῶν ἀγαθῶν τε κακῶν τε
νόος ἔδωκ' ἔλεγχον.

Pittaci Mitylenaei cantilena est Diog. L. I, 78. Ἐποίησε καὶ ἐλεγεῖα ἔπη ἑξακόσια· τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησε τάδε· Ἔχοντα κτλ. Vide Scolion Solonis. 1. Scripsi τόξα: legebatur τόξον. 2. Alii ποτί. 4. Ilgenius καρδίῃ.

Chilonis Lacedaemonii cantilena Diog. L. I, 71. Τῶν ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησεν ἐκεῖνο· Ἐν λιθ. κτλ. Vide Welckeri Prolegg. Theogn. XCVII sq. 3. Sic Welckerus: libri ἐν δὲ χρυσῷ. 4. Vulgo νοῦς. Cfr. ad sententiam Theogn. 418.

VII. Alcaei Mitylenaei carmina.

Olymp. XLII, 2.

Horatius Carmm. I, 32. cll. II, 13.

Age dic Latinum
Barbite carmen,
Lesbio primum modulate civi;
Qui ferox bello tamen inter arma
Sive jactatam religarat udo
Litore navim,
Liberum et Musas Veneremque et illi
Semper haerentem Puerum canebat,
Et Lycum nigris oculis nigroque
Crine decorum.

Dionysius Hal. V, 421. Rsk. *Ἀλκαίου σχόπει τὸ μεγαλοφυὲς καὶ βραχὺ καὶ ἡδὺ μετὰ δεινότητος, ἔτι δὲ τοὺς σχηματισμοὺς μετὰ σαφηνείας, ὅσον αὐτῆς μὴ τῇ διαλέκτῳ τι κεκάκωται· καὶ πρὸ ἁπάντων τὸ τῶν πολιτικῶν πραγμάτων ἦθος· πολλαχοῦ γοῦν τὸ μέτρον εἴ τις περιέλοι, ῥητορικὴν ἂν εὕροι πολιτείαν* (πραγματείαν). Adde Quintilian. Instt. Orr. X, 1, 63.

I. Ὕμνοι.

1. Εἰς Ἀπόλλωνα.

Ὦ ἄναξ Ἄπολλον, παῖ μεγάλω Διός.

Alcaei Mitylenaei Carmina. Post doctos Britannos praeclare de Alcaei reliquiis meruerunt censores editionis A. Matthiaei, A. Seidlerus in Mus. Rhen. 1829, 208 sqq., F. G. Welckerus in Jahn. Annall. 1830, I, 14 sqq., Fr. Neuius in Annall. Litter. Berolinenss. 1829, 724 sqq., A. Giesius in Diar. Litter. Halenss. 1832, 96. p. 761 sqq., Th. Bergkius Mus. Rhen. 1835, 218 sqq., Fr. Osannus ibid. 1833, 60 sqq.

I. Ὕμνοι. 1. Εἰς Ἀπόλλωνα. Hephaest. 80. tanquam exemplum Alcaici hendecasyllabi. In Aristarchea editione Alcaei haec oda prima fuit primi libri, in Mercurium secunda, v. Scholl. Hephaest. 121. De hoc hymno cfr. Himer. Oratt. XIV, 10. Paus. X, 8, 5. Plut. Morall. II, 1135, F. et Muelleri Dorr. I, 268 sq.

2. Εἰς Ἑρμῆν.

Χαῖρε Κυλλάνας ὁ μέδεις, σὲ γάρ μοι.

3. Εἰς Ἀθηνᾶν.

Ἄνασσ' Ἀθανάα πολε . . . . . .
ἄ που Κορωνίας ἐπὶ * δεων

---

2. Εἰς Ἑρμῆν. Hephaest. 79. exemplum metri Sapphici. μέδεις libri: ὃς μεδέεις Flor. μέδων Turnebus. Apollon. Synt. 92. Bekker. Καὶ παρὰ Ἀλκαίῳ οἱ περὶ Ἀπίωνα τὸν μόχθον τὸ Κυλλάνας ὁ μεδεὶς ἐν ῥήματος συντάξει ἤκουον, οὐ παραδεχόμενοι μετοχὴν τοιαύτην ἐκ βαρυτόνου ῥήματος, εἴγε τῆς τοιαύτης λήξεως οὐκ ἔχονται [αἱ] κατὰ τὸ κοινὸν ἐκ βαρυτόνων οὖσαι ῥημάτων. ἀλλὰ καὶ πρὸς τὸ τοιοῦτον ἐδείκνυτο ὡς καὶ περισπώμενον εἴη ῥῆμα τὸ μεδῶ, ἔνθεν καὶ τὸ Ἀωδώνης μεδέων, ἀφ' οὗ τὸ μέδημι, ὡς οἴκημι, καὶ ἔτι ἡ μεδέουσα συνοῦσα μετοχὴ κατὰ τὸ ἀκόλουθον. κἀκ τῆς γραφῆς συνηλέγχοντο, οὐκ οὔσης ποτὲ διὰ τοῦ ει κατὰ πᾶν δεύτερον πρόσωπον παρ' Αἰολεῦσιν. Tenorem in prima vindicat Bastius Greg. Cor. 620. Seidlerus 216. Horatii carmen I, 10. teste Porphyrione *Hymnus in Mercurium ab Alcaeo lyrico poeta.* Celebraverat poeta Ἑρμοῦ γονάς Menander Rhet. IX, 149. Walz., raptum boum Apollinearum Paus. VII, 20, 2. Porphyr. ad v. 9. *fabula haec ab Alcaeo ficta.* Denique Ath. X, 425, C. Ἀλκαῖος τὸν Ἑρμῆν εἰσάγει θεῶν οἰνοχόον. Cfr. Voss. Epp. Myth. I, 16. Welcker. l. c. 48. Mueller. Dorr. I, 282.

3. Εἰς Ἀθηνᾶν. Strabo IX, 411. Κατελάβοντο δὲ τὴν Κορώνειαν ἐπανιόντες ἐκ τῆς Θετταλικῆς Ἄρνης οἱ Βοιωτοὶ μετὰ τὰ Τρωϊκά, ὅτε περ καὶ τὸν Ὀρχομενὸν ἔσχον. κρατήσαντες δὲ τῆς Κορωνείας ἐν τῷ πρὸ αὐτῆς πεδίῳ τὸ τῆς Ἰτωνίας Ἀθηνᾶς ἱερὸν ἱδρύσαντο ὁμώνυμον τῷ Θετταλικῷ, καὶ τὸν παραῤῥέοντα ποταμὸν Κουράλιον προσηγόρευσαν ὁμοφώνως τῷ ἐκεῖ· Ἀλκαῖος δὲ καλεῖ Κωράλιον, λέγων· Ἄσσ' Ἀθάνα ἀπολε . . . . . ἀπὸ Κοιρωνίας ἐπιδεων (sic) αυω (sic) πάροιθεν ἀμφι . . Κωραλίω ποταμῶ παρ' ὄχθαις. Sic vetustissimus cod. Parisinus. Alii libri 2. ἐπὶ δεῦ . . ., ἐπὶ δέων αὐτῷ, ἐπι δεων ανω. Varie locum tentant: post Friedemannum et Blomfieldium Muellerus Orch. 392. Ἄνασσ' Ἀθαναία πολίων, ἀπὸ Τᾶς σᾶς Κορωνείας ἐπὶ δεῦρ' ἴθι, Πάροιθεν ἂν ἱδρυσάμεσθα Κωρ. κτλ. Seidlerus 221. Ἄν. Ἀθάνα, ἄ ποτε Θεσσαλῶν Ἄπαι, Κορωνείας ἐπ' ἰδίων ἄνω Πάροιθεν ἀμφήριστος ἴζευ Κωρ. κτλ. Neuius: Ἄνασσ' Ἀθανάα πολεμαδόκε, Ἄπερ Κορωνείας ἔπι

ανω πάροιθεν ἀμφι . . . .
Κωραλίω ποταμῶ παρ' ὄχθαις.

4. *Εἰς Ἀφροδίτην.*

Ἄεισον ἄμμι
τὰν ἰόκολπον.

5. *Εἰς Ἔρωτα.*

[Ἔρωτα] δεινότατον θεῶν
ἐγέννατ' εὐπέδιλος Ἶρις
χρυσοκόμᾳ Ζεφύρῳ μιγεῖσα.

6. *Εἰς Ἥφαιστον.*

Ὥστε θεῶν μηδὲν Ὀλυμπίων
λῦσαι ἄτερ Γέθεν.

δῶμ' ἔχεις, πάροιθεν ἀμφιβᾶσ' Ἴτωνα Κωρ. κτλ. Optime Welckerus 37. *Ἄν. Ἀθανάα* (ut *Φωκάας* apud Sapph.) *πολεμαδόκος, Ἄ που Κορωνείας ἐπὶ λαΐῳ Ναυῶ* (in inscriptione Cumaea est *ναυοις, ναυω*) *πάροιθεν ἀμφιβαίνεις Κωρ. κτλ.* De templo v. Paus. IX, 34, 1. Callim. Lav. Pall. 63. In eodem hymno Alcaeus Onchestum perperam *πρὸς ταῖς ἐσχατιαῖς τοῦ Ἑλικῶνος* posuerat, Strabo IX, 412.

4. *Εἰς Ἀφροδίτην.* Apollon. Dysc. de Pron. 384, B. *Τὰ παρ' Αἰολεῦσιν ἕνεκα τῆς συντάξεως πολλάκις ἐποβάλλει τὸ ν δι' εὐφωνίαν· Ἄεισον κτλ. Ἀλκαῖος.* Ad Venerem rettuli, quae alias est *ἰοβλέφαρος, ἰοστέφανος.*

5. *Εἰς Ἔρωτα.* Plutarch. Morall. II, 765, D. *Τὰ μὲν οὖν πολλὰ ποιηταὶ προσπαίζοντες ἐοίκασι τῷ θεῷ γράφειν περὶ αὐτοῦ καὶ ᾄδειν ἐπικωμάζοντες, ὀλίγα δὲ εἴρηται μετὰ σπουδῆς αὐτοῖς, εἴτε κατὰ νοῦν καὶ λογισμὸν, εἴτε σὺν θεῷ τῆς ἀληθείας ἁψαμένοις· ὧν ἔν ἐστι καὶ τὸ περὶ τῆς γενέσεως· Δεινότατον κτλ. εἰ μή τί καὶ ὑμᾶς ἀναπεπείκασιν οἱ γραμματικοὶ* (commentatores Alcaei), *λέγοντες πρὸς τὸ ποικίλον τοῦ πάθους καὶ τὸ ἀνθηρὸν γεγονέναι τὴν εἰκασίαν.* Et. Gud. 278, 19. *Τὰ ἄνθη λέγουσιν ἥμερα, ἐπεὶ ἐν τῷ ἔαρι φύονται, ὅτε καὶ τὰ ἐρωτικὰ θερμότερα ἐστί. τούτου χάριν καὶ ὁ Ἀλκαῖος Ζεφύρου καὶ Ἶριδος τὸν Ἔρωτα φησίν.* Vide Lobeck. Aj. p. 362. Numeris descripsit Porsonus Misc. Critt. CIII: correxi vulg. *ἐγείνατ'*. De allegoria v. Welcker. 48.

6. *Εἰς Ἥφαιστον.* Apollon. Dysc. de Pron. 358, B. *Σαφὲς ὅτι καὶ τὸ Αἰολικὸν δίγαμμα ταῖς κατὰ τὸ τρίτον πρόσ-*

II. Στασιωτικά.

7.

Μυρμαίρει δὲ μέγας δᾶμος χαλκῷ· πᾶσα δ' Ἄρη κε-
κόσμηται στέγα
λαμπραῖσιν κυνίαισι, καττᾶν λευκοὶ καθύπερθεν ἵππιοι
λόφοι
νεύοισιν, κεφαλαῖσιν ἀνδρῶν ἀγάλματα, χάλκιαι δὲ πασσά-
λοις
κρύπτοισιν παρικείμεναι λαμπραὶ κνάμιδες, ἄρκος ἰσχυρῶ
βέλευς,
θώρακές τε νέω λίνω κοΐλαί τε κατ' ἄσπιδες βεβλημέναι· 6

ωπον προςνέμεται, καθὸ καὶ αἱ ἀπὸ φωνήεντος ἀρχόμεναι δασύνονται. Ἀλκαῖος. Ὥστε κτλ. Codex λυσεφτερ γεθεν. Ad Junonem a Vulcano sellae alligatam refero cum Welckero, v. Paus. III, 17, 3. Sapph. fr. 35. Celebraverat Alcaeus Ἡφαίστου γονάς Menander Rhet. IX, 149. Walz.

II. Στασιωτικά. Strabo XIII, 617. Ἐτυραννήθη ἡ πόλις κατὰ τοὺς χρόνους τούτους ὑπὸ πλειόνων διὰ τὰς δυναστασίας· καὶ τὰ στασιωτικὰ (alii διχοστασιαστικὰ) καλούμενα τοῦ Ἀλκαίου ποιήματα περὶ τούτων ἐστίν.

7. Athen. XIV, 627, A. Ἀλκαῖος ὁ ποιητής, εἴ τις καὶ ἄλλος, μουσικώτατος γενόμενος, πρότερα τῶν κατὰ πραγτικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται (v. Archilochi Eleg. fr. 1.), μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος· διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενος φησίν· Μυρμαίρει κτλ. ωσπερ μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν ὀργάνων. Haec spectabat et similia Max. Tyr. XXXVII, 439. Σπαρτιάτας ἤγειρε τὰ Τυρταίου ἔπη καὶ Ἀργείους τὰ Τελεσίλλης μέλη καὶ Λεσβίους ἡ Ἀλκαίου ᾠδή. De metro v. Herm. El. D. M. 437. Giesius Dial. Aeol. 386 sq. 1. Ἄρη in Martis honorem. Codd. BP Ἄρη: vulgo Ἄρει, v. Buttm. Gr. Max. I, 227 sq. Libri στέγη. 2. κυνίαισι ABP: vulgo κυνέαισι et 3. χάλκεαι (recte ibi B), v. Nenium Sapph. fr. V. 3. Legebatur νεύουσιν. 4. Libri κρυπτοῖσιν: emendavit Welckerus; πασσάλοις est accusativus. κνάμιδες, v. Nenium Sapph. p. 82. Phrynich. 171. Lobeck. Libri κναμίδες, κναμῖδες. ἄρκος· ἄρκεσμα, βοήθεια Hesychius. 5. Libri κοῖλαι: restituit Seidlerus 208. Confer de hac forma soluta Aeolensibus propria Bergk. Anacr. 93 sq.

πὰρ δὲ Χαλκιδικαὶ σπάθαι, πὰρ δὲ ζώματα πολλὰ καὶ κυπάττιδες·
τῶν οὐκ ἔστι λαθέσθ', ἐπειδὴ πρώτιστ' ὑπὸ Γέργον ἔστημεν νύδα.

8.

Βληχρῶν ἀνέμων ἀχείμαντοι πνοαί.

9.

Γαίας καὶ νιφόεντος οὐρανῶ μέσοι.

10.

* Συνίημι τῶν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,

---

6. Χαλκιδικαὶ σπάθαι, v. Boeckh. Oecon. Athen. II, 284. Libri κυπατίδες. Pollux VII, 60. Ὁ κύπασσις λίνου πεποίητο, σμικρὸς χιτωνίσκος ἄχρι μέσου μηροῦ. Correxit Mehlhornius. 7. Legebatur πρώτισθ'. Alcaeo vindicat Giesius Diad. Aeol. 385. et huic carmini adhaesisse suspicatur quae sunt Hesych. v. Πασσύριον· ἀντὶ τοῦ πασσυδίην, Αἰολεῖς· Τὸ πασσυρίον ἡμῶν (ἀμμέων) ἁπάντων γένος. Rursus Πασσύρως· ἄρδην, ἀνοικί. Videri hoc traduxisse Arist. Lysistr. 187. Ὦ παγκατάπυγον ἡμέτερον ἅπαν γένος.

Fr. 8. Scholl. Il. Θ, 178. Τὸ βληχρὸν σημαίνει ὡς ἐπὶ τὸ πλεῖστον μᾶλλον τὸ ἀσθενές. Ἀλκαῖος· Βληχρῶν κτλ. Metri gratia, quod idem est atque fr. 7., addidi, sic et fr. 6. De voce βληχρὸς v. nostra post Eustath. Pind. 37.

Fr. 9. Apollon. de Adv. 613, 30. Τῇδε ἔχει καὶ τὸ ἐπίρρημα παρ' Αἰολεῦσι τὸ μέσοι· Γαίας κτλ. Idem 588, 27. Τὸ παρὰ τοῖς περὶ τὸν Ἀλκαῖον μέσσοι δῆλον ὅτι κατὰ τὴν ἰδίαν διάλεκτον ἀνὰ λόγον βαρυνθείη ἄν· οὐ γάρ ἐστιν ἐλλιπὴς τῇ ἐν προθέσει, συστελλομένου τοῦ ω εἰς το ο, ὡς τινες ὑπενόησαν, ἐν μέσσῳ, ἀλλ' ὃν τρόπον παρὰ τὸ οἶκος τὸ οἶκοι ἐγένετο, σημαῖνον τὸ ἐν οἴκῳ, παρά τε τὸ Πυθὼ τὸ Πυθοῖ, καὶ παρὰ τὸ Μέγαρα τὸ Μεγαροῖ, σημαῖνον τὸ ἐν Μεγάροις, τὸν αὐτὸν τρόπον καὶ παρὰ τὸ μέσος τὸ μέσσοι ἐγένετο, σημαῖνον τὸ ἐν μέσῳ. ὅπερ ἔφην κατὰ τὸ Αἰολικὸν ἔθος βαρύνεσθαι. Aeolensium etiam μέσσοι erat, v. Hesychium. δ' ὀρανῶ Hermannus Opuscc. VI, 105.

Fr. 10. Heraclid. Alleg. Homer. 13. Schow. Ἐν ἑκατοῖς δὲ

τὸ δ' ἔνθεν· ἄμμες δ' ἂν τὸ μέσσαν
ναῒ φορήμεθα σὺν μελαίνᾳ,
χειμῶνι μοχθεῦντες μεγάλῳ μάλα·
πὰρ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
λαῖφος δὲ πᾶν ζάδηλον ἤδη
καὶ λακίδες μεγάλαι κατ' αὐτό·
χόλαισι δ' ἄγκυραι.

11.

Τὸ δηὖτε κῦμα τῶν προτέρων ὅμιω

καὶ (v. Archiloch. fr. 47. Theogn. 671 sqq.) τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγοροῦντα. τὰς γὰρ τυραννικὰς ἐξουσίας χειμερίῳ προσεικάζει καταστήματι θαλάσσης, ἀσυνέτην καὶ τῶν ἀνέμων στάσιν· τὸ μὲν γὰρ κτλ. Τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον; ἀλλ' οὐχ οὕτως ἔχει. Μυρσίλος γὰρ ὁ δηλούμενός ἐστι καὶ τυραννικὴ κατὰ Μιτυληναίων ἐγειρομένη σύστασις. Cfr. Horat. Carmm. I, 14. Hermann. El. D. M. 688. In verbis illis ἀσυνέτην sqq. latere versiculum poetae consentiunt, sed ut Heraclides structuram ad suam orationem aptaverit: Seidlerus ἀσυνθέτου κατὰ τῶν ἀν. στάσιν; Giesius ἀσυνθέτου καὶ τῶν ἀνέμων στάσει. Cocondrius περὶ τρόπων in Boissonad. Ann. Grr. III, 294. (Walz. Rhett. VIII, 787.) Παρὰ Ἀλκαίῳ· Συνίημι τῶν ἀνέμων τὴν στάσιν· τὸ μὲν γὰρ κτλ. Hinc patet vv. ἀνέμων στάσιν in fine fuisse versus posita praecedente, ut ait Lobeck. Paral. 460., quodam verbi συνίημι inclinamento. 3. ἄμμες δ' ἂν τὸ μέσσον citat Apollon. de Pron. 379, B. 5. Heraclides καλαν: Cocondrius αἰεὶ φορήμεθα· σὺν μέλαν χειμῶνι μογέοντες μάλα, confirmans emendationem Seidleri: κώλων Schowius (ut Horat. l. c. *Malus celeri saucius Africo Antennaeque gemant ac sine funibus Vix durare carinae Possint imperiosius Aequor.*): κάλον Osannus, antiquiorem formam, restituebat. 6. Corrigunt πὲρ: si πὰρ verum, adverbium est. 7. Exspectes ζάδαλον. 9. χόλαισι, i. e. χαλῶσι, v. Neuium Sapph. II, 5.

Fr. 11. Heraclides l. c. Ὁμοίως δὲ τὰ ὑπὸ τούτου αἰνιττόμενος ἑτέρωθί που λέγει· Τὸ δὲ εὖ γε κῦμα τῷ προτέρῳ νεομωστίζει, παρέξει δὲ ἄμμι πόνων πολλὴν ἀντλην, ἐπεὶ καὶ ναὸς ἐμβαίνει. Κατακόρως ἐν ταῖς ἀλληγορίαις ὁ νησιώτης θαλασσεύει καὶ τὰ πλεῖστα τῶν δεὶ τοὺς τυράννους ἐπεχόντων κακῶν πελαγείοις χειμάσιν εἰκάζει.

1. Sic Neuius: Steph. τὸ δὴ σὺγε, Ursin. τὸ δ' εὖτε: Seidlerus

στίχει; παρέξει δ' ἅμμι πόνον πολὺν
ἄντλην, ἐπεί κε ναὸς ἔμβᾳ.

12.

Νῦν χρὴ μεθύσθην καί τινα πρὸς βίαν
πίνειν, ἐπειδὴ κάτθανε Μυρσίλος.

13.

Μέλαγχρος αἰδῶς ἄξιος εἰς πόλιν.

14.

Λόφον τε σείων Καρικόν.

15.

Οὐ λίθοι

τὸ δ'. αὖτε. τῶν προτέρων ὅμου Seidlerus: Ursin. τῷ προτέρᾳ ὠνέμῳ. στίχει. Respicit poeta ad turbas civiles progressas. Σείχει, i. e. στείχει; ὁμοῦ στείχων est Soph. Phil. 1288. 2. πόνων πολύν Elmsiejus Eurip. Heracl. 169. 3. Seidlerus adjecit: vulgo Heraclideae orationi adhaerent: *Undae multum nobis exhibebunt negotii in exhauriendis fluctibus, ubi in navem descenderint.* Cfr. Il. Ω, 381. 624. Theogn. 673. Addit Seidlerus, scribi potuisse ἐπεὶ κὰν (h. e. κατὰ) ναὸς ἔμβᾳ.

Fr. 12. Athen. X, 430, A. Κυπὰ πᾶσαν ὥραν καὶ περίστασιν πίνων ὁ ποιητὴς οὗτος εὑρίσκεται. — ἐν δὲ ταῖς εὐφρόναις· Νῦν κτλ. μεθύσθην Buttmannus Gr. Max. II, 186. Libri μεθύσκειν. καὶ χθόνα πρὸς βίαν πιεῖν (libri πονεῖν: emendavit Steph.) quidam viri docti ex Hor. Carmm. I, 37., sed v. Hermann. Ed. D. M. 688. Welcker. l. c. 45 sq.

Fr. 13. Hephaest. 80. Genitivum Aeolicum αἰδῶς ex h. l. affert Grammaticus Crameri Ann. I, 208, 13. Vide Exx. Critt. II, 6 sqq. De Melanchro Diog. L. I, 74. Πιττακὸς μετὰ τῶν Ἀλκαίου γενόμενος ἀδελφῶν Μέλαγχρον καθεῖλε τὸν τῆς Λέσβου τύραννον, v. Welcker. l. c. 16.

Fr. 14. Strabo XIV, 661. Τοῦ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὄχανα ποιοῦνται (Cares) νεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους. Ἀνακρέων μέν γε φησὶν (v. fr. XCI. Bergk.) —, ὁ δ' Ἀλκαῖος· Λόφ. κτλ. Vide Herod. I, 171. Blomf. Aesch. Sept. 381.

Fr. 15. Aristides I, 555. Iebb. (621. Dindorf.) Χρὴ τὸ συμβεβηκὸς ἐναγκιῶν ὡς πραότατα καὶ τῶν δεινοτέρων ἐξάμενος

τειχέων εὖ δεδομαμένοι,
ἀλλ' ἄνδρες πόλιος πύργος ἀρήϊοι.

16.

Οὐ τιτρώσκει τἀπίσημ' ὅπλα.

17.

Ὧνηρ οὗτος ὁ μαιόμενος τὸ μέγα κρέτος
ἀντρέψει τάχα τὰν πόλιν· ἁ δ' ἔχεται ῥοπᾶς.

ἀντέχεσθαι καὶ τὸν λόγον βεβαιῶσαι, ὅτι οὐκ οἰκίαι καλῶς ἐστεγασμέναι οὐδὲ λίθοι τειχῶν εὖ δεδομημέναι οὐδὲ στενωποί τε καὶ νεώρια ἡ πόλις, ἀλλ' ἄνδρες χρῆσθαι τοῖς ἀεὶ παροῦσι δυνάμενοι. Eodem respexit II, 207. (273.) Τὸν λόγον, ὃν πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο (Aesch. Pers. 355. Thuc. VII, 77. Valcken. Diatr. 217.), ὡς οὐ λίθοι οὐδὲ ξύλα οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἰσὶν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν ἄνδρες τούτους σώζειν εἰδότες, ἐνταῦθα τείχη καὶ πόλεις. Denique I, 535. (791.) Νομίσητε πλείονος ἀξίους ὑμᾶς αὐτοὺς τῶν οἰκοδομημάτων καὶ πιστεύσητε ἀληθὲς εἶναι τὸ πάλαι τοῦτο, ὡς ἄρα οὐ τείχη οὐδὲ ὡδεῖα οὐδὲ στοαὶ οὐδὲ ὁ τῶν ἀψύχων κόσμος αἱ πόλεις εἶεν, ἀλλ' ἄνδρες αὐτοῖς εἰδότες θαρρεῖν. Postremo Nicolaus Progymn. I, 276. Walz. Ἀλκαῖος ὁ ποιητὴς οὐ ξύλα καὶ λίθους, ἀλλ' ἄνδρας ἐφιλοσόφησε πόλεως σύστασιν. Hinc Bergkius l. c. 218. duos priores versus elicuit: tertium servavit Scholiasta Aesch. Pers. 347. Ἄνδρες γὰρ πόλεως πύργος ἐρήϊος, sed πύργοι ἀρήϊοι Scholl. Soph. O. R. 56. Liban. II, 288. v. Lobeck. Soph. Aj. 160. Hinc ἀρήϊοι Matthaeus. Et πύργοι ἀρήϊοι Suidas v. Ἀρήϊος, qui quum addit: Καὶ Ἀρηΐδους, τοὺς τοῦ πολέμου (τοῖς πολεμικοῖς E.). Εἶναι ἔλεγε νεότητα ἐπίλεκτον καὶ ἀρηΐοις ὅπλοις περιφράττεσθαι, haec quoque ex Alcaeo ducta suspicor. Ceterum dedi πόλιος.

Fr. 16. Scholl. Aesch. Sept. 200. Οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα: ταῦτα παρ' Ἀλκαίου· Οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα οὐδὲ αὐτὰ καθ' ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτὰ γενναῖος ᾖ. Verba non praeso: sententiam non sustinui praetermittere. Cfr. Liv. X, 39. Tacit. Agric. XXII.

Fr. 17. Scholl. Arist. Vespp. 1227. Ὦνθρωφ', οὗτος ὁ

18.

Οὐδέ πω Ποσειδᾶν
ἀλμυρὸν ἐστυφέλιξε πόντον.

19.

Ἔπταζον ὡς ὄρνιθες ὠκὺν
αἰετὸν ἐξαπίνας φανέντα.

20.

Ἄρευ δαΐφοβος δαϊκτήρ.

21.

Τὸ γὰρ
Ἄρευϊ κατθανεῖν καλόν.

μαιόμενος τὸ μέγα κράτος Ἀνατρέψεις ἔτι τὰν πόλιν, ἃ δ' ἔχεται. ἐοπᾶς: παρὰ τὰ Ἀλκαίου· Ὤννησεν οὗτος καὶ μαινόμενος (Venetus ὤννησαι οὗτος ὁ μαινόμενος et τρέψεις τάχα.) τὸ μ. κ. τάχα τρέψεις τὴν π.· ἃ δ' ἔ. ἐ., ἀντὶ τοῦ μέγα κράτος. οὕτως Αἰολεῖς (sc. κρέτος, v. Buttm. Gr. Max. I, 103.). Sed Scholl. Rav. in Thesmoph. 162. Ἐν Σφηξὶν παρῴδηται τό· Ὤννηρ οὗτος ὁ μαιόμενος, τὸ μ. κράτος. Conformavit Seidlerus 214. et Giesius 772.

Fr. 18. Herodianus περὶ μον. 10, 25. Εἴρηται ὁ δαίμων παρ' Ἀλκαίῳ διὰ τοῦ ᾱ μένοντος τοῦ ν Ποσειδᾶν· Οὐδέπω κτλ.

Fr. 19. Herodianus περὶ μον. 23, 9. Πτάζω, ἔπταζον, ὡς τό· Ὄρνιθες ὠ. αἰετὸν ἐξαπτήνας φαν. Alcaei haec esse suspicatus est Dindorfius, correxit Bergkius 260 sq. Cfr. Soph. Aj. 167., ubi aliter Lobeckius p. 143.

Fr. 20. Grammaticus Barocc. Crameri III, 237, 1. Ζητοῦμεν καὶ τὴν τοῦ Ἄρης, Ἄρεος γενικὴν πῶς εὕρηται διὰ διφθόγγου· λέγομεν Ἄρευος, Ἄρευϊ· — ἡ κλητική· Ἄρευ δ' ὁ φόβος διακτήρ. δαϊκτήρ Cramerus cll. Aesch. Sept. 899., δαΐφοβος Bergkius. Alcaeo tribui propter Heraclidem Eustath. Il. 518, 35. Ἄρευς εὐθεῖα παρ' Ἀλκαίῳ εὑρέθη, v. Neuium Sapph. fr. LXXXVIII.

Fr. 21. 22. 23. Choeroboscus ad Theodos. in Bekkeri Ann. 1240. Τὰ εἰς ευς ἀποβάλλουσι τὸ υ πακὰ τὴν γενικὴν χωρὶς τοῦ Ἄρευς, Ἄρευος· τοῦτο γὰρ ἐφύλαξε τὸ υ παρὰ τοῖς Αἰολεῦσιν, οἷον· Ἄρευος στρατιωτέροις κτλ. Alcaeo haec vindicavimus in Ibyc. Rheg. 190., et sic Seidlerus 227.

22.

Μῖξαν δ' ἐν ἀλλάλοις Ἄρευα.

23.

Ἄρευος στρατιωτέροις.

III. *Μέλος πρὸς Μελάνιππον, ἄνδρα ἑταῖρον.*

24.

Ἀλκαῖος — σῶος Ἄρει
ἔντεα δ' οὐκὶ, τά οἱ τὸ ἁλίκροτον ἐς Γλαυκωποῦ

Fr. 21. Bekkerus *καταθανεῖν*. 22. Bekkerus *μίξαντες ἀλλήλοισιν*, Crameri Gramm. III, 237, 3. *μῖξαν δὲ ἀλλήλοις*: hinc correxi Exx. Critt. II, 10. Cfr. Pind. Pyth. IV, 228. 23. Comparatio hyperbolica, ut Sapphonis *χρυσῶ χρυσοτέρα* fr. 39.

III. Herodotus V, 95. *Πολεμεόντων δὲ σφέων παντοῖα καὶ ἄλλα ἐγίνετο ἐν τῇσι μάχῃσι, ἐν δὲ δὴ καὶ Ἀλκαῖος ὁ ποιητὴς συμβολῆς γενομένης καὶ νικώντων Ἀθηναίων, αὐτὸς μὲν φεύγων ἐκφεύγει, τὰ δέ οἱ ὅπλα ἴσχουσι Ἀθηναῖοι καί σφεα ἀνεκρέμασαν πρὸς τὸ Ἀθήναιον τὸ ἐν Σιγείῳ· ταῦτα δὲ Ἀλκαῖος ἐν μέλεϊ ποιήσας ἐπιτιθεῖ ἐς Μιτυλήνην, ἐξαγγελλόμενος τὸ ἑωυτοῦ πάθος Μελανίππῳ ἀνδρὶ ἑτάρῳ.* Vide Valckenar. Herod. V, 94. Plehn. Lesb. 50 sqq.

Fr. 24. Strabo XIII, 600. *Πιττακὸς ὁ Μιτυληναῖος πλεύσας ἐπὶ τὸν Φρύνωνα στρατηγὸν (τῶν Ἀθηναίων) διεπολέμει τέως διατιθεὶς καὶ πάσχων κακῶς· ὅτε καὶ Ἀλκαῖος φησὶν ὁ ποιητὴς ἔν τινι ἀγῶνι κακῶς φερόμενον ἑαυτὸν τὰ ὅπλα ῥίψαντα φυγεῖν· λέγει δὲ πρός τινα κήρυκα, κελεύσας ἀγγεῖλαι τοῖς ἐν οἴκῳ· Ἀλκαῖος σῶος ἄροι* (duo codd. *ἄρει*) *ἔνθα δ'* (tres *ἐνθάδε, ἐνθάδ'*) *οὐκ αὐτὸν τὸν* (unus *οὔχυτον* om. *τὸν*, ut in Par. Med., unus *οὔχι τον ἁλ.*, unus *οὐ κεῖται τὸν ἁλ.*) *ἁληκτορὶν* (tres *ἁλυκτορὴν*, unus *ἁλυκτορὶν*) *ἐς Γλαυκωπὸν ἱερὸν* (plures *ὃν* inserunt) *ἐκρέμασαν* (*ἀνεκρέμασαν* Ursinus) *Ἀττικοί*. Posui Seidleri conjecturas 211 sqq. expositas: quaedam ex his alii invenerant, ut *ἔντεα δ'* Wesselingius. Metrum videtur fuisse ut Horat. Carmm. IV, 7. *Diffugere nives* sqq. 1. Intellige: *Alcaeus salvus est Marti*, h. e. in nova bella. 2. Si Alcaeus sic scripserat, *Γλαυκωπῶ* vel *Γλαυκῶπος* dederat: Dindorfius *Γλαυκώπιον* censet, v. Naekius Mus. Rhen.

Ἱρον ὀνεκρέμασαν
Ἀττικοί.

IV. *Πρὸς Ἀντιμενίδαν τὸν ἀδελφόν.*

25.

Ἦλθες ἐκ περάτων γᾶς ἐλεφαντίναν
λαβὰν τῶ ξίφεος χρυσοδέταν ἔχων.

26.

Κτεννὰς ἄνδρα μαχαίταν βασιλήϊον

1837, 60. Lucas Quaestt. Lexil. 136 sq. Seidlerus *ἀλίκτυπον* posuit: *ἀλίκροτον* Lindavius in Zimmermanni Diar. Philoll. 1831, II, 86, p. 685. Herodotus *πρὸς τὸ Ἀθήναιον τὸ ἐν Σιγείῳ.*

3. *ὀνεκρέμασαν*, ut alias *ὀνία, ὀνιαρός, τομίας* (h. e. *ταμίας*), v. Intpp. Greg. Cor. 455. De abjecto in fuga scuto v. Archiloch. Eleg. fr. 5., Anacreont. fr. XXVI. Bergk., Horat. Carmm. II, 7, 9. An huc pertinuere quae in nota fr. 15. Alcaei esse suspicabar? Ceterum Welckerus 3. sq. a Strabone haec fere posita arbitratur: *Ἀλκ. σῶος, ἀρήϊ' ἔντεα δ' οὐχί· τὰν ἀλκτῆρα φανὸν ἐς Γλαυκωποῦ ἱερὸν ἐκρέμ. Ἀ.*

IV. Strabo XIII, 617. *Τὸν ἀδελφὸν Ἀντιμενίδαν φησὶν Ἀλκαῖος Βαβυλωνίοις συμμαχοῦντα τελέσαι μέγαν ἆθλον καὶ ἐκ πόνων αὐτοὺς ῥύσασθαι κτείναντα ἄνδρα μαχαίταν, ὥς φησι, βασιλήων παλαιστὰν* (παλαστάν codex), *ἀπολιπόντα μόνον ἀγίαν τ' ἀχέων* (παχέον codex) *ἀποπέμπων.* Exposuit de hoc carmine et omnia felicissime resuscitavit Muellerus noster Mus. Rhen. 1828, 287 sqq.

Fr. 25. Libanius in *Προσφωνητικῷ Ἰουλιανῷ* I, 406. Rak. *Ἆρ' οὖν μοι καιρὸν ἔχει κατὰ τὸν Λέσβιον Ἀλκαῖον ποιήσασθαι τὴν ἀρχήν· Ἦλθες ἐκ περάτων γᾶς οὐκ ἐλεφαντίνῃ χρυσοδέτῳ καλλωπιζόμενος λαβῇ, καθάπερ ἐκεῖνος ἐποίησεν, ἀλλ' ἀτεχνῶς χρυσῇ ψυχῇ κεκευθύνων τὴν οἰκουμένην.* Integros versus, exemplum metri Asclepiadei, servavit Hephaestio 58. De terminatione *χρυσοδέταν* (Libanius vulgarem substituit) v. Lobeck. Parall. 457. Ceterum v. Mueller. l. c. 296.

Fr. 26. Vide supra. *Qui occidisti Goliath Aegyptium Syrumve, qui nonnisi palmum aberat a quinque cubitis*, v. Mueller. l. c. 299. In reliquis verbis Strabonis *τελέσασαι μὲν ἆθλον* versus initium videntur.

παλαστὰν ἀπολείποντα μόνον μίαν
πάχεων ἀπὸ πέμπων.

V. Συμποτικά.

Athenaeus XV, 693, F. Ἐμέμνητο οἱ πολλοὶ καὶ τῶν Ἀττικῶν ἐκείνων σκολίων· ἅπερ καὶ αὐτὰ ἄξιόν ἐστί σοι ἀπομνημονεῦσαι διά τε τὴν ἀρχαιότητα καὶ ἀφέλειαν τῶν ποιησάντων καὶ τῶν ἐπαινουμένων ἐπὶ τῇ ἰδέᾳ ταύτῃ τῆς ποιητικῆς Ἀλκαίου τε καὶ Ἀνακρέοντος, ὡς Ἀριστοφάνης παρίστησιν ἐν Δαιταλεῦσι λέγων οὕτως·

Αἶσον δή μοι σκόλιόν τι λαβὼν Ἀλκαίου κἀνακρέοντος.

27.

Ὗει μὲν ὁ Ζεύς, ἐκ δ' ὀρανῶ μέγας
χειμών, πεπάγασιν δ' ὑδάτων ῥοαί.
— — — — —
— — — —
Κάββαλλε τὸν χειμῶν', ἐπὶ μὲν τιθεὶς
πῦρ, ἐν δὲ κέρναις οἶνον ἀφειδέως
μελιχρὸν, αὐτὰρ ἀμφὶ κόρσᾳ
μαλθακὸν ἀμφι . . . . γνόφαλλον.

---

2. παλαστάν, v. Lobeck. Phryn. 295. ἀπολείποντα, confert Muellerus Hes. Opp. 698. Μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων. 3. πέμπων, ut Alcaeus ipse alias εἷς τῶν δυοκαιδέκων Et. M. v. δυσί. Buttm. Gr. Max. I, 282.

V. Συμποτικά. Fr. 27. Ath. X, 430, A. Κατὰ πᾶσαν ὥραν καὶ περίστασιν πίνων ὁ Ἀλκαῖος εὑρίσκεται. χειμῶνος μὲν ἐν τούτοις· Ὗει κτλ. Compara Hor. Carmm. I, 9. Epod. 13. 1. ὀρανῶ Buttmannus Lexilog. I, 32. Libri ἐκ δ' ὠρανῶ: ex Alcaeo et ὀρανὸς et ὠρανὸς affert Herodianus περὶ μον. 7, 21., sed v. Hermann. Opusce. VI, 104 sq. Casaubonus ἐν δ' ὠρανῷ: Theocr. XXII, 10. πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος. 5. Libri ἀμφιγνόφαλλον, ἀμφὶ γνόφαλλον: corrigunt viri docti ἀμφιτίθεις, ἀμφιτιθεὶς, ἀμφιβαλών. γνόφαλλον, h. e. γνάφαλλον, Buttm. Gr. Max. I, 103. Bergk. Comm. Com. Att. 119.

28.

Οὐ χρὴ κακοῖσι θυμὸν ἐπιτρέπειν·
προκόψομεν γὰρ οὐδὲν ἀσάμενοι,
ὦ Βύκχι, φάρμακον δ' ἄριστον
οἶνον ἐνεικαμένοις μεθύσθην.

29.

Ἀλλ' ἀνήττω μὲν περὶ ταῖσι δέρραις
περθέτω πλέκταις ὑποθυμιδας τις,
κἀδ δὲ χευάτω μύρον ἀδὺ κὰτ τῶ
στήθεος ἄμμι.

30.

Τὸν κακοπάτριδα

Fr. 28. Ath. l. c. *Ἐν δὲ τοῖς συμπτώμασιν· Οὐ χρὴ* κτλ. Cfr. Horat. Carmm. III, 2. 1. *θυμὸν* Steph. Casaub. Libri *μῦθον*. 3. Libri *βυκχί*, *βυγγί*: Et. M. 216, 47. *Βύκχις*: *ὄνυμα Αἰολικὸν παρὰ τὸ βάκχος βάκχις καὶ βύκχις, ὡς ἵππος ἴππις καὶ οἶκος οἶκις, καὶ τροπῇ τοῦ ᾰ εἰς ῠ, ὡς βάθος βυθός.*

Fr. 29. Athen. XV, 674, C. *Ἐκάλουν οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους ὑποθυμιάδας, ὡς Ἀλκαῖος ἐν τούτοις· Ἀλλ' ἀνήτω* κτλ. 1. Libri *ταῖς δέραις*: correxit Bergkius: *δέρρη* Aeolicum attestatur Et. M. 262, 52. *Ἀνήττω* duobus *τ* est Bekkeri Ann. 403, 3. Cfr. Scholl. Theocr. VII, 63. Pollux VI, 107. Bergk. Anacr. fr. XXXVII. Virgil. Ecl. II, 48. Ceterum Scholl. Horat. Carmm. IV, 11, 3. *Alcaeus frequenter se dicit apio coronari.* 2. Libri *πλεκτὰς ὑποθυμιάδας*. 3. 4. ex Ath. XV, 687, D. *Ἀλκαῖος ἔφη· Κἀδδ' ἐχεύσατο* κτλ. emendatiores addidit Bergkius 221 sq.

Fr. 30. Aristotelea Polit. III, 10. (p. 101. Goettling.) *Εἴλοντό ποτε Μυτιληναῖοι Πιττακὸν πρὸς τοὺς φυγάδας, ὧν προειστήκεσαν Ἀντιμενίδης καὶ Ἀλκαῖος ὁ ποιητής. Δηλοῖ δ' Ἀλκαῖος, ὅτι τύραννον εἵλοντο τὸν Πιττακὸν ἐν τοιᾷδὶ τῶν σκολιῶν μελῶν* (al. *σκολίων*)· *ἐπιτιμᾷ γὰρ ὅτι Τὸν* κτλ. 1. *κακοπάτριδα*, qui *e* Thracia oriundus esset, sed cfr. Lobeck. Parall. 215. Eundem Pittacum Alcaeus teste Diog. Laert. I, 81. compellaverat *σαράποδα* vel *σάραπον*, *χαραπόδην*, *γαύρηκα*, *φύσκωνα καὶ γάστρωνα*, *ζοφοδορπίδην* (h. e. *λαθροφάγον* Hesych., sed Plutarch. Morall. II, 426, B. rectius *ὡς*

Πίττακον πόλιος τᾶς ζαχόλω καὶ βαρυδαίμονος
ἐστάσαντο τύραννον μέγ' ἐπαινεῦντες ἀολλέες,
ἀθροᾷ [illegible] φωνᾷ.

31.

Τέγγε πνεύμονα Ϝοίνῳ· τὸ γὰρ ἄστρον περιτέλλεται,
ἁ δ' ὥρα χαλεπὰ, πάντα δὲ δίψαισ' ὑπὸ καύματος.
ἀχεῖ δ' ἐκ πετάλων Ϝαδέα τέττιξ, πτερύγων δ' ὕπο
*κακχέει λιγυρὰν [πυκνὸν] ἀοιδὰν * * ὁππόταν*

ἀδόξοις τὰ πολλὰ καὶ φαύλοις ἡδόμενον συμπόταις). Postea autem in gratiam rediit cum Pittaco, Diodor. Excc. Vat. 21, 20. Dindorf. *Καὶ τὸν ποιητὴν Ἀλκαῖον ἐχθρότατον αὐτοῦ γεγενημένον καὶ διὰ τῶν ποιημάτων πικρότατα λελοιδορηκότα λαβὼν ὑποχείριον ἀφῆκεν ἐπιφθεγξάμενος, ὡς Συγγνώμη τιμωρίας αἱρετωτέρα.* Cfr. Plehn. Lesb. 47 sq. 2. Legebatur *πόλεως*. Tum libri *ἀχόλω* (*socordis ac desidiosae*): *ζαχόλω* (*quae Alcaeum expulisset*) Bergkius Anacr. 22. 3. *ἐστάσαντο*, v. Soph. Antig. 666. Herod. V, 42. Libri *ἐπαινέοντες*. 4. Plutarch. Morall. II, 763, E. *Κοινῇ τὸν Ἔρωτα συνεγγράφουσιν εἰς θεοὺς ποιητῶν οἱ κράτιστοι καὶ νομοθενῶν καὶ φιλοσόφων ἀθρόᾳ φωνᾷ* (Reiskius: libri *ἀθρόαι φωναὶ*) *μέγα ἐπαινέοντες, ὥσπερ ἔφη τὸν Πιττακὸν ὁ Ἀλκαῖος αἱρεῖσθαι τοὺς Μιτυληναίους τύραννον.* Hinc addidi.

Fr. 31. Athen. l. c. (v. fr. 28.) *θέρους δέ· Τέγγε κτλ.* duos priores versus laudat, quos alii quoque afferunt. *τὸ ἄστρον περιτέλλεται*, cfr. Theogn. 1032. Hor. Carmm. III, 29, 18. 3. Proclus Hesiod. Opp. 584. *Τοιαῦτα δὲ καὶ τὸν Ἀλκαῖον ᾄδειν. ἀχεῖ δ' ἐκ πετάλων* (codex meus *πετάλλων*) *τάδε ἂν τέττιξ, ἀνθεῖ δὲ καὶ σκόλυμος, νῦν δὲ μιαρώταται γυναῖκες, λεπτοὶ δέ τοι ἄνδρες, ἐπεὶ κεφαλὴν καὶ γόνατα. Σ. ἄζει. πτερύγων ὕπο* supplevit Seidlerus: *ἁδέα τέττιξ* Graevius, *ἀχέτα τ.* Heinsius, cfr. Il. Γ, 151. 52. Sed *δ' ὕπο* scribendum et versus 4. 5. huc referendos esse vidit felicissimus conjector Bergkius 219. Nam Demetr. Eloc. XLII. *Γίγνονται καὶ ἀπὸ λέξεως χάριτες, ἤγουν ἀπὸ μεταφορᾶς· ὡς ἐπὶ τοῦ τέττιγος· Πτερύγων δ' ὑποκακχέει λιγυρὰν ἀοιδὰν, ὅ τι ποτ' ἂν φλόγιον καθέταν* (codex a Victorii *καθέτως*) *ἐπιπτάμενον καταυδείη* (Aldus *κατανδείη*). 4. *πυκνὸν* Bergkius addit ex Hesiodo: *Ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ Πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματάδεος ὥρῃ, Τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος,*

5* φλόγιον καθέταν ἐπιπτάμενον καταυδείη.
ἀνθεῖ δὲ σκόλυμος· νῦν δὲ γυναῖκες μακρώταται,
λεπτοὶ δ' ἄνδρες, ἐπεὶ καὶ κεφάλαν καὶ γόνυ Σείριος
ἄζει.

32.

Πίνωμεν, τὸ γὰρ ἄστρον περιτέλλεται.

33.

Πίνωμεν· τί τὸ λύχνον μένομεν; δάκτυλος ἁμέρα.
κάδδ' ἄειρε κυλίχναις μεγάλαις, ἀΐτα, ποικίλαις.
οἶνον γὰρ Σεμέλας καὶ Διὸς υἱὸς λαθικαδέα
ἀνθρώποισιν ἔδωκ'. ἔγχεε κίρναις ἕνα καὶ δύο

Μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τε ἄνδρες Εἰσὶν, ἐπεὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει. 5. Inesse debet sententia: θέρεος καματώδεος ὥρῃ, sed ea μεταφορικῶς expressa. 6. Recte haec quoque Alcaeo tribui evincit Plinius N. H. XXII, 43. ubi est de scolymo: *Venerem stimulare in vino Hesiodo et Alcaeo testibus: qui florente ea cicadas acerrimi cantus esse et mulieres libidinis avidissimas virosque in coitum pigerrimos scripsere, velut providentia naturae hoc adjumento tunc valentissimo.* 7. γόνα Bergkius: at Steph. Byz. Γόννοι· γόννα γὰρ οἱ Αἰολεῖς τὰ γόνατα. Seidlerus γόνυ.

Fr. 32. Athen. I, 22, F. Καὶ ἀλλαχοῦ· Πίνωμεν κτλ.

Fr. 35. Priscian. VI, 723. Putsch. (284. Krehl.) *In quibusdam ea productam terminantibus Graeci poetae eus pro ea protulerunt, — Ἀρευὺς pro Ἄρης ut Sappho:* ὁ Ἀρευὺς φησει κεναφης τοναγησεβια. Sic codex Gudianus, v. Ibyc. Rheg. 163. Alii φαισει, ἄγειν: hinc Hermannus ὁ Ἀρευὺς φαὶς, εἶκεν Ἄφ. ἄγη βίᾳ: Neuius ὁ δ' Ἄρευς φαὶς εἶκεν Ἄφ. ἄγειν βίᾳ: ἦ κεν Muellerus Archaeol. 480., qui Sapphonem de Neptuni cum Marte contentione ante Junonem throno alligatam loqui notat, v. Alcaei fr. 6. Bergkius 216. — — — Ὁ δ' Ἄρ. φασί κεν Ἄφαιστον ἄγην βίᾳ. De forma Ἄρευς v. Alcaei frr. 20 sqq.

Fr. 36. Athen. XII, 554, B. Σαπφὼ φησιν ἰδεῖν ἄνθε' ἀμέργουσαν π. ἄγαν ἀπαλάν. Correxit Hermannus 138.

Fr. 37. Ath. II, 57, D. de forma ὤϊον agens.

Fr. 38, 39. Demetr. Eloc. CLXII. Τοῦ αὐτοῦ τῆς ὑπερβολῆς εἴδους καὶ τὰ τοιαῦτά ἐστιν· ὑγιέστερος πολοκύντης καὶ φαλακρότερος εὐδίας· καὶ τὸ Σαπφικά· Πολὺ κτλ. πᾶσαι γὰρ αἱ τοιαῦται χάριτες ἐκ τῶν ὑπερβολῶν εὕρηνται, καίτοι διαφέρουσιν. Et rursus CXXVII. Τὸ χρυσῶ χρ. τὸ Σαπφικὸν ἐν ὑπερβολῇ λέγεται καὶ αὐτὸ καὶ ἀδυνάτως, πλὴν αὐτῷ γε τῷ ἀδυνάτῳ χάριν ἔχει, οὐ ψυχράτητα. ὃ δὴ καὶ μάλιστα θαυμάσειεν ἄν τις Σαπφοῦς τῆς θείας, ὅτι φύσει κινδυνώδει πράγματι καὶ δυσκατορθώτῳ ἐχρήσατο ἐπιχαρίτως. Gregor. in Hermog. Wala. VII, 1236. Αἰσχρῶς μὲν

40.

Μήτ' ἐμοὶ μέλι μήτε μέλισσα.

41.

Γελλῶς παιδοφιλωτέρα.

42.

Μὴ κίνει χεράδας.

43.

Κατθνάσκει, Κυθέρη, ἁβρὸς Ἄδωνις· τί κε θεῖμεν; κατττύπτεσθε, κόραι, καὶ κατερείκεσθε χιτῶνας.

κολακεύει τὴν ἀκοὴν ἐκεῖνα ὅσα εἰσὶν ἐρωτικά· οἷον τὰ Ἀνακρέοντος, τὰ Σαπφοῦς· οἷον γάλακτος λευκοτέρα, ὕδατος ἁπαλωτέρα, πηκτίδος ἐμμελεστέρα, ἵππου γαυροτέρα, ῥόδων ἁβροτέρα, χρυσοῦ τιμιωτέρα, ἱματίου ἑανοῦ μαλακωτέρα (Buttmann. Lexil. II, 12.). Cfr. Theocr. XI, 20. Catull. 25. init. et Hermann. Opuscc. IV, 298. Alcaei fr. 23.

Fr. 40. Moschopul. Opuscc. 86. Titz. Ὡς παρὰ Σαπφοῖ· Μήτ' κτλ. Dicebatur proverbium ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι ἀγαθὸν μετὰ ἀπευκτοῦ Diogenian. VI, 68. vel ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι φλαῦρον μετ' ἀγαθοῦ Provv. Bodl. 663.

Fr. 41. Zenob. III, 3. Γελλὼ παιδοφιλωτέρα: ἐπὶ τῶν ἀώρως τελευτησάντων, ἤτοι ἐπὶ τῶν φιλοτέκνων μέν, τρυφῇ δὲ διαφθειρόντων αὐτά. Γελλὼ γάρ τις ἦν παρθένος· καὶ ἐπειδὴ ἀώρως ἐτελεύτησε, φασὶν οἱ Λέσβιοι αὐτῆς τὸ φάντασμα ἐπιφοιτᾶν ἐπὶ τὰ παιδία καὶ τοὺς τῶν ἀώρων θανάτους αὐτῇ ἀνατιθέασι. Μέμνηται ταύτης Σαπφώ. Γελλοῦς Provv. Coisl. 86. et Suidas: id Γελλῶς scripsi. Hesychio est Γελλὼ (a verbo Γελεῖν videtur ductum, ut nostratium Frau Holda) δαίμων, ἣν γυναῖκες τὰ νεογνὰ παιδία φασὶν ἁρπάζειν. Cfr. Lobeck. Aglaoph. 302.

Fr. 42. Et. M. 808, 35. cll. Scholl. Ap. Rh. I, 1123. Noli limum tangere. Similia componit Neuius μὴ κινεῖν κακὸν ἐν κείμενον, μὴ κάρφος κίνει, κινεῖς τὸν ἀνάγυρον.

Fr. 43. Hephaest. 59. ut exemplum antispactici tetrametri catalectici. Sapphoni tribuunt propter Paus. IX, 29, 3. Σαπφὼ ἡ Λεσβία τοῦ Αἰτολίου τὸ ὄνομα ἐκ τῶν ἐπῶν τῶν Πάμφω

II. Ἐπιθαλάμια.

44.

Ἴψοι δὴ τὸ μέλαθρον (Ὑμήναον) ἀέῤῥετε τέκτονες ἄνδρες,
(Ὑμήναον)
γαμβρὸς ἐςέρχεται ἶσος Ἄρῃ, μεγάλω πολὺ μείζων
πέῤῥοχος, ὡς ὅτ' ἀοιδὸς ὁ Λέσβιος ἀλλοδαποῖσιν.

* * *

μαθοῦσα, Ἄδωνιν ὁμοῦ καὶ Οἰτόλινον ᾖσε. Et Dioscoridi Anth. Pal. VII, 407. Sappho Κινύρεω νέον ἔρνος ὀδυρομένη, Ἀφροδίτῃ σύνθρηνος. 1. θεῖμεν, faciamus. Hesychius Θείομεν· ποιήσομεν. Θείης· ποιήσαις. Varie hoc verbo usi Aeoles, v. Seidler. 306. 2. Libri κατερύκεσθε, C κατερυσκεσθαι: correxit Pauwius.

Post Ἐρωτικὰ posui quae ad Epithalamia diserte referuntur a veteribus vel referenda visa sunt. Locus classicus de Epithalamiis Sapphonis est Himerii Orat. I. cfr. Welcker. de moribus Sapphus 112 sqq.

Fr. 44. Hephaestio 129. Ὅταν τὸ ἐφύμνιον μὴ μετὰ στροφὴν, ἀλλὰ μετὰ στίχον κέηται, παραλαμβάνομενον ἄλλῳ στίχῳ, μεσύμνιον μαλεῖται τὸ ποίημα, οἷόν ἐστι τὸ παρὰ Σαπφοῖ· Ὕψοι κτλ. usque ad vv. ἶσος Ἄρηϊ. Demetr. de Eloc. CXLVIII. Ἔστι δέ τις ἰδίως χάρις Σαπφικὴ ἐκ μεταβολῆς, ὅταν τι εἰποῦσα μεταβάλληται καὶ ὥσπερ μετανοήσῃ· οἷον· Ὕψι δὴ, φησὶ, τὸ μ. ἀείρατε, τέκτονες· γαμβρὸς εἰςέρχεται ἶσος Ἄρηϊ, ἀνδρὸς μεγάλου πολλῷ μείζων· ὥσπερ ἐπιλαμβανομένη ἑαυτῆς, ὅτι ἀδυνάτῳ ἐχρήσατο ὑπερβολῇ, καὶ ὅτι οὐδεὶς τῷ Ἄρηϊ ἴσος ἐστί. 1. Ἴψοι dicunt Aeoles et ἴψος, ἰψηλός, ἰψόθεν, vide Cramer. Ann. I, 418, 29. ἀέῤῥετε Bentlejus: libri ἀέρατε, ἀείρατε, ἀείρετε. Ὑμήναον (vel ὑμήναιον) librorum scripturam non mutandam docet titulus apud Welckerum 430. Est autem extra versum exclamatio. 2. ἐςέρχεται Seidlerus 204. ἀνδρὸς resecuit Bergkius 215. ut hexameter refingeretur: nempe paullo ante ἄνδρες omissum apud Demetrium huc rejectum erat. Lepide dictum μεγάλω μείζων, ut χρυσῶ χρυσοτέρα fr. 39. Ἄρη an Ἄρῃ rectius sit potest ambigi: illud Bergkius. μεγάλω πολὺ Neuius. Aliter haec descripsit Hermannus 137. 3. Addidit Bergkius ex Demetrio de Eloc. CXLVI. Ἐκ παραβολῆς καὶ ἐπὶ τοῦ ἐξέχοντος ἀνδρὸς ἡ Σαπφώ φησιν· Πέῤῥοχος κτλ. ἐνταῦθα γὰρ

Οἷον τὸ γλυκύμαλον ἐρεύθεται ἄκρῳ ἐπ' ὄσδῳ
ἄκρον ἐπ' ἀκροτάτῳ· λελάθοντο δὲ μαλοδροπῆες,
οὐ μὰν ἐκλελάθοντ', ἀλλ' οὐκ ἐδύναντ' ἐφικέσθαι.

* * *

Οἷαν τὰν ὑάκινθον ἐν οὔρεσι ποιμένες ἄνδρες
ποσσὶ καταστείβοισι, χαμαὶ δέ τε πορφύρον ἄνθος.

χάριν ἐποίησεν ἡ παραβολὴ μᾶλλον ἢ μέγεθος· καίτοι ἐξῆν εἰπεῖν, πέρροχος ὥσπερ ἡ σελήνη τῶν ἄλλων ἄστρων, ἢ ὁ ἥλιος ὁ λαμπρότερος, ἢ ὅσα ἄλλα ἐστὶ ποιητικώτερα. πέρροχος. **Hesychius** *Περρόχεων· ὑπερέχειν.* **Quem dixisse** *ἀοιδὸν τὸν Λέσβιον* **multum quaesivere: quidam Alcaeum volunt, Neuius non unum aliquem eligendum censet, sed omnem gentem exornari ut arte musica praestantem. Terpandrum intelligit Casterus Nov. Lectt. IV, 27. Et sic fere veteres poetriae commentatores, ex quorum copiis manasse arbitror quae sunt apud Eustath. Il. 741, 23.** *Αἴλιος Διονύσιος τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν Τέρπανδρόν φησιν ἢ Εὐαινετίδην ἢ Ἀριστοκλείδην. καὶ Ἀριστοτέλης δὲ ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ τὸ Μετὰ Λέσβιον ᾠδὸν τὸν Τέρπανδρόν φησι δηλοῦν. ἐκαλοῦντο δὲ φασι καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ' οὕτως οἱ λοιποὶ Μετὰ Λ. ᾠδόν, τὸν ἁπλῶς δηλαδὴ Λέσβιον.* **Cum his cfr. Provv. Bodl. 596. (***οἱ δὲ Φρῦνιν, ὃ καὶ μᾶλλον:* **perperam.) Scholl. Arist. Nubb. 964. Hesych. Phot. (***τὸν Φρύνιχον· οἱ δὲ Εὐαίνετον.***), Mueller. Dorr. II, 320. Bergk. Comm. Com. Att. 229. Versus 4. 5. 6. a choro puellarum cantatos vidit Bergkius: superiora enim juvenum sunt; compara Catulli carmen LXII. Servavit Scholiasta Hermogen. VIII, 983. Walz. Respexisse puto Himer. Orat. I, 16.** *Σαπφοῦς ἦν ἄρα μήλῳ μὲν εἰκάσαι τὴν κόρην, τοσοῦτον χαρισαμένην τοῖς πρὸ ὥρας δρέψασθαι σπεύδουσιν, ὅσον ἄκρῳ τοῦ δακτύλου γεύσασθαι, τῷ καθ' ὥραν τρυγᾶν τὸ μῆλον μέλλοντι τηρῆσαι τὴν χάριν ἀκμάζουσαν· τὸν νυμφίον τε Ἀχιλλεῖ παρομοιῶσαι καὶ εἰς ταὐτὸν ἀγαγεῖν τῷ ἥρῳ τὸν νεανίσκον ταῖς πράξεσιν.* **Obversabantur haec et Longo Pastorall. III, 105. Schaefer.** *Καὶ ἦν μῆλον ἐπέπεπτο ἐν αὐτοῖς ἄκροις ἀκρότατον, μέγα καὶ καλὸν, καὶ τῶν πολλῶν τὴν εὐωδίαν ἑνίκα μόνον. Ἔδεισεν ὁ τρυγῶν ἀνελθεῖν, ἠμέλησε καθελεῖν· τάχα δὲ καὶ ἐφύλαττε τὸ καλὸν μῆλον ἐρωτικῷ ποιμένι.* **7. 8. Demetrius de Eloc. CVI.** *Τὸ ἐπιφώνημα καλούμενον ὁρίζοιτο μὲν ἄν τις λέξιν ἐπικοσμοῦσαν· ἔστι δὲ τὸ μεγαλοπρεπέστατον ἐν τοῖς λόγοις· τῆς γὰρ λέξεως ἡ μὲν ὑπηρετεῖ, ἡ δὲ ἐπικοσμεῖ. ὑπηρετεῖ μὲν ἡ τοιάδε· Οἷαν — καταστείβουσι. ἐπικοσμεῖ δὲ τὸ ἐπιφερό-*

45.

Ἔσπερε, πάντα φέρεις, ὅσα φαινόλις ἐσκέδασ' ἄυως·
φέρεις ὄϊν, φέρεις αἶγα, φέρεις ματέρι παῖδα.

46.

Κῆνοι δ' ἄρα πάντες
χαρχήσι' ἔχον καὶ ἔλειβον· ἀρά-
σαντο δὲ πάμπαν ἐσλὰ
τῷ γαμβρῷ.

47.

Ἀεὶ παρθένος ἔσσομαι.

48.

Ἠσὶ, δώσομεν, ἠσὶ πατήρ.

μενον τό· *χαμαὶ δέ τε* κτλ. ἐπενήνεγκται γὰρ τοῦτο τοῖς προενηνεγμένοις κόσμος σαφῶς καὶ κάλλος. Sapphoni vindicavit Bergkius 217. Puellae cantant. Cum hyacintho novam nuptam confert Catullus LXI, 91. Sed maxime huc facit idem LXII, 39 sqq., quod carmen ad poetriae Lesbiae imitationem factum.

Fr. 45. Demetrius de Eloc. CXLI. *Χαριεντίζεται δέ ποτε Σαπφὼ καὶ ἐξ ἀναφορᾶς, ὡς ἐπὶ τοῦ Ἑσπέρου· Ἔσπερε π. φ., φησὶ, φέρεις οἶνον,* (ὄϊν Caselius) *φέρεις αἶγα, φέρεις μ. π. Καὶ γὰρ ἐνταῦθα ἡ χάρις ἐστὶν ἐκ τῆς λέξεως τῆς φέρεις ἐπὶ τὸ αὐτὸ ἀναφερομένης.* Et. M. 174, 47. affert versum *Ἔ π. φ., ὅσα φαινόλις ἐσκέδασ' ἄυως.* Junxit Blomfieldius: artificiosius corrigit Hermannus 134 sq. Ad gaudia amoris (v. Catull. LXII.) poetria post haec devenisse videtur. *φέρεις* est participium.

Fr. 46. Athen. XI, 475, A. *Μνημονεύει τῶν καρχησίων καὶ Σαπφὼ ἐν τούτοις· Κῆνοι δ' κτλ.* Tentavit Seidlerus 304. Secutus sum Hermanni descriptionem 137. Confer Dissen. Pind. Ol. VII, 1.

Fr. 47. Cramer. Ann. I, 71, 19. *Οἱ Αἰολεῖς τριχῶς· Ἀεὶ π. ἔσομαι· καὶ αἰεὶ καὶ αἰέν.* Cfr. Exx. Critt. II, 8.

Fr. 48. Ibid. I, 190, 19. *Ἠσὶ, ϑ., ἡ. π., φησὶν ἡ Σαπφώ. ἠτὶ δὲ λέγει Ἀλκμὰν ἀντὶ τοῦ ἠσίν.* Cfr. Buttmann. Gr. Max. I, 565.

49.

Θυρωρῷ πόδες ἑπτορόγυιοι,
τὰ δὲ σάμβαλα πεμπεβόηα,
πίσυγγοι δὲ δέκ' ἐξεπόνασαν.

50.

Ὄλβιε γαμβρὲ, σοὶ μὲν δὴ γάμος, ὡς ἀρᾶϊο,
ἐκτετέλεστ', ἔχεις δὲ πυρθένον, ἃν ἀρᾶο.

51.

Ὁ μὲν γὰρ καλὸς, ὅσσον ἰδεῖν, πέλεται καλός·
ὁ δὲ κἀγαθὸς αὐτίκα καὶ καλὸς ἔσσεται.

Fr. 49. Hephaestio 41. *Τὸ Αἰολικὸν τετράμετρον καταληκτικὸν εἰς δισύλλαβον· Θυρωρῷ κτλ.* Demetrius de Eloc. CLXVII. *Σκώπτει Σαπφὼ τὸν ἀγροῖκον νυμφίον καὶ τὸν θυρωρὸν τὸν ἐν τοῖς γάμοις εὐτελέστατα καὶ ἐν πεζοῖς ὀνόμασι μᾶλλον ἢ ἐν ποιητικοῖς. ὥστε αὐτῆς μᾶλλόν ἐστι τὰ ποιήματα ταῦτα διαλέγεσθαι, ἢ ᾄδειν, οὐδ' ἂν ἁρμόσαι πρὸς τὸν χορὸς ἢ πρὸς τὴν λύραν, εἰ μή τις εἴη χορὸς διαλεκτικός.* 1. *Θυρωρῷ*, cfr. Pollux III, 3, 42. *Καλεῖταί τις τῶν τοῦ νυμφίου φίλων καὶ θυρωρός, ὁ ταῖς θύραις ἐφεστηκὼς καὶ εἴργων τὰς γυναῖκας βοηθεῖν τῇ νύμφῃ βοώσῃ.* Adde Anacr. fr. 32. *ἑπτορόγυιοι*, v. Intpp. Pind. Pyth. IV, 228. 2. De forma *σάμβαλα* v. Bergk. Anacr. 101. *πεμπεβόηα* scripsi: libri *πεντεβύκα, πεντεβόεια.*

Fr. 50. Hephaestio 102. *Καὶ τὸ ἐκ χοριαμβικῶν ἐφθημιμερῶν τῶν εἰς τὴν ἰαμβικὴν κατακλεῖδα ἡ Σαπφώ· Ὄλβιε κτλ.* 1. *Ὄλβιε γαμβρὲ* usitatum προσφώνημα in Epithalamiis: Theocr. XVIII, 16. Eurip. Hel. 657. *ἂν ὑπὸ λαμπάδων κύροι λευκίπποι σοὶ ξυνομαίμονες, ὤλβισαν, ὤλβισαν· τὸ πρόσθεν* (h. e. *ὀλβία, ὀλβία προσεφθέγξαντο*). Hesiodi fr. XLIX. *Τρὶς μάκαρ Αἰακίδη καὶ τετράκις, ὄλβιε Πηλεῦ, ὃς τοιοῦδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις. ὡς ἀρᾶο.* Libri *ὡς ἀρᾶϊ, ὡς ἄρας:* vulgo *ἄραο.* Altero versu *ἀνάρας, ἂν ἀρᾶῖ*, vulgo *ἂν ἄραο.* Sequor Neuium, cfr. Buttm. Gr. Max. I, 505. Hermannus 133. *ἀρᾶσαι* vult scribi.

Fr. 51. Galenus Protr. VIII. *Ἄμεινον οὖν ἐστιν, ἐγνωκότας τὴν μὲν τῶν μειρακίων ὥραν τοῖς ἠρινοῖς ἄνθεσιν ἐοικυῖαν, ὀλιγοχρόνιόν τε τὴν τέρψιν ἔχουσαν, ἐπαινεῖν καὶ τὴν Λεσβίαν λέγουσαν· Ὁ μὲν γὰρ κ. ὅσσον ἰδεῖν πέλε-*

52.

Ἦρ' ἔτι παρθενίας ἐπιβάλλομαι;

53.

Λαύοις ἁπαλᾶς ἑτάρας ἐν στήθεσιν.

54.

Χαίροισθα νύμφα, χαιρέτω δ' ὁ γαμβρός.

55.

Τίῳ σ', ὦ φίλε γαμβρέ, καλῶς εἰκάσδω;
ὄρπακι βραδινῷ σε κάλιστ' εἰκάσδω.

ται, ὁ δὲ κἀγ. ἀ. καὶ κ. ἔσται. Correxit Hermannus 124. Bergkius autem 214. πέλεται ὀγαθὸς conjicit, quae per synizesin coalescant.

Fr. 52. Apollonius de Conj. 490. *Ἄρα· οὗτος κατὰ πᾶσαν διάλεκτον ὑπεσταλμένης τῆς κοινῆς καὶ Ἀττικῆς ἦρα λέγεται. Ἦρ' ἔτι παρθενίης ἑπ., Σαπφώ.* Schol. Dionys. Thrac. 968. *Ὁ ἆρα ἐρωτηματικὸς ὢν μηκύνει τὸ ᾱ, συλλογιστικὸς δὲ βραχύνει· τρέπεται δὲ ἑκατέρου τὸ ᾱ εἰς η̄, τὸ μὲν μακρὸν παρ' Αἰολεῦσιν οὕτως· Ἦρ' ἔτι παρθενικὰς ἑπ.* Recte scripsit Hermannus 137. De ἦρα v. Alcmanis fr. 44.

Fr. 53. Et. M. 250, 10. *Λαύω· τὸ κοιμῶμαι. Σαπφώ· Λαύοις κτλ. λέγει δὲ Ἡρωδιανὸς ὅτι ἅπαξ ἡ λέξις παρὰ Σαπφοῖ.* Hesychius: *ἔθαυσεν· ἐκοιμήθη. Ἑτάρα* honesto significatu i. q. *νύμφη*. Potest de *γαμβρῷ* dici, potest de Amore, qui *ἐν παρειαῖς νεάνιδος ἐννυχεύει*.

Fr. 54. Hephaestio 25. *Καταληκτικὰ, ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα· οἷον ἐπὶ ἰαμβικοῦ· Χαίροισα κτλ. χαίροισθα* Neuius. Theocr. XVIII, 49. *χαίροις ὦ νύμφα, χαίροις εὐπέπλου γαμβρέ.*

Fr. 55. Hephaestio 41. *Αἰολικὰ πεντάμετρα καταληκτικὰ εἰς δισύλλαβον· Τίῳ κτλ.* Libri *τίω: τίῳ* (h. e. *τίνι*) Neuius, v. Et. Gud. 526, 3. Apollon. Synt. 111. Et. M. 759, 35. ubi ex Sapphone *τεοῖσιν* (*τίοισιν*) *ὀφθαλμοῖσιν* affertur. 2. Legebatur *μάλιστ'*: correxit Bergkius 214. Alcaeum *κάλιον ἀντὶ τοῦ κάλλιον* dixisse notat Trypho Mus. Cantabr. I, 39. Ceterum compara Il. Σ, 56. 437. Odyss. Ξ, 175.

56.

Χαῖρε, νύμφα, χαῖρε, τίμιε γαμβρὲ, πολλά.

57.

Οὐ γὰρ ἦν ἑτέρα παῖς, ὦ γαμβρὲ, τοιαύτα.

58.

Μελλίχροος δ' ἐπ' ἰμερτῷ κέχυται προσώπῳ.

59.

(A.) Παρθενία, παρθενία, ποῖ με λιποῖσ' οἴχεαι;
(B.) Οὐκέτι Fίξω, οὐκέτι Fίξω προτὶ σ' — ⏑ —.

Fr. 56. Servius Virg. Georg. I, 31. *Generum pro marito positum multi accipiunt, juxta* Sappho, *quae in libro, qui inscribitur* Ἐπιθαλάμια, *ait* χαῖρε κτλ. ἀντὶ τοῦ νυμφίε. Pollux III, 3, 31. Σαπφὼ καὶ τὸν ἄνδρα αὐτὸν γαμβρὸν καλεῖ. Intpp. Pind. Ol. VII, 4. Hermanno, cui ex eodem carmine quo fr. 50. videntur haec esse, sic scribit 128. Χαῖρε δὲ, ν., χαῖρε, τ. γ., πολλά. Vel etiam χαίρετε.

Fr. 57. Dionys. Comp. Verbb. XXV. Τοῦτο τὸ κῶλον ἐκ δυοῖν συνέστηκε μέτρων. Μήτε μικρὸν ὁρῶντά τι καὶ φαῦλον ἁμάρτημα, ἑτοίμως οὕτως ἐπὶ τούτῳ. Εἴ γέ τοι Σαπφικόν τις ἐπιθαλάμιον τουτί· Οὐ γὰρ ἑτέρα ἦν (codd. duo et Aldus νῦν) παῖς, ὦ γ., τ. Correxit Blomfieldius, v. Hermann. 133. Seidlerus 303. sic: Οὐ γὰρ ἀτέρα ἦν παῖς ὦ γ. τ.

Fr. 58. Hephaestio 103. Καὶ ὁ ποὺς συνῆψε τὴν λέξιν. Μελίχροος κτλ. Libri μελίχρονος, μελίχρως.

Fr. 59. Demetrius de Eloc. CXL. Αἱ ἀπὸ τῶν σχημάτων χάριτες δῆλαί εἰσι καὶ πλεῖσται παρὰ Σαπφοῖ· οἷον ἐκ τῆς ἀναδιπλώσεως, ὅπου νύμφη πρὸς τὴν παρθενίαν φησί· Παρθενία, π., ποῖ με λιποῦσα οἴχῃ; ἡ δὲ ἀποκρίνεται πρὸς αὐτὴν τῷ αὐτῷ σχήματι· Οὐκ ἔτι ἥξω πρὸς σέ, οὐκ ἔτι ἥξω. πλείων γὰρ χάρις ἐμφαίνεται, ἢ εἴπερ ἅπαξ ἐλέχθη καὶ ἄνευ τοῦ σχήματος. 1. ἀποίχῃ Blomfieldius: ἀποίχεαι Hermannus 129. 2. Seidlerus 296. οὐκέτι [Σαπφοῖ] ποτί σ' ἴξω, ποτί σ' οὐκέτ' ἴξω. Hermannus: [χαῖρε, φίλα]· οὐ γὰρ ἔτ' ἴξω προτί σ', οὐκέτ' ἴξω. Giesius de Dial. Aeol. 291. Οὐκέτι Fίξω σε [φυγοῖσ'], οὐκέτι Fίξω σε. Mihi οὐκέτι ἴξω, οὐκέτι ἴξω ex doctrina Demetrii juxta collocanda visa sunt. Prius ἴξω cum seq. οὐκέτι in pronunciatione ex more Aeolensium coalescit. Excidit fortasse οὐ Fίξω.

60.

Ἦραν ποτά φαισιν Δία τὸν τερπικέραυνον.

61.

Δεῦτέ νυν, ἄβραὶ Χάριτες, καλλίκομοί τε Μοῖσαι.

62.

Βροδοπάχεες ἄγναὶ Χάριτες, δεῦτε, Διὸς κόραι.

63.

Ἄγε δὴ, χέλυ, μοι λέγε,
φωνάεσσα δὲ γίγνεο.

Fr. 60. Hephaestio 63. *Οἷον· Ἦρην ποτέ φασιν κτλ.* Sapphonis ex Epithalamio esse censet Welckerus 433., quum fragmenta poetriae Lesbiae alia eadem pagina exhibeantur. Theocrit. I, 105. *οὐ λέγεται τὰν Κύπριν ὁ βωκόλος.*

Postremo sequuntur fragmenta carminum severioris argumenti gnomica, paraenetica, scoptica. Sappho enim singulis amicis, quas et amabat et ad omnem vitae cultum elegantiamque et artem musicam conformabat, praecepta suggerit, alias objurgat, interdum cavillatur. Insunt praeterea, ubi de semetipsa loquatur, de filia tenerrima, de ipsius φιλίᾳ (*καλῷ δαμοσίῳ*), de poeticae artis studio: quid sibi pulchrum rectumque videatur declarat. Confer Welckeri censuram 405 sq.

Fr. 61. Hephaestio 52. *Τετράμετρα χοριαμβικὰ καταληκτικά, ἃ καὶ τῶν τριμέτρων συνεχέστερά ἐστιν, οἷα ταυτὶ τὰ Σαπφοῦς· Δεῦτέ νυν κτλ.*

Fr. 62. Argum. Theocr. XXVIII. *Γέγραπται Αἰολίδι διαλέκτῳ παρὰ τὸ Σαπφικὸν ἑνκαιδεκασύλλαβον τὸ· Ῥοδοπήχεες κτλ. Βρόδων* est fr. 69, 2.

Fr. 63. Hermogenes II, 4. *Ὅταν τὴν λύραν ἐρωτᾷ ἡ Σαπφὼ, καὶ ὅταν αὕτη ἀποκρίνηται, οἷον· Ἄγε χέλυ δῖά μοι* (*ἄγε δὴ χ.* omisso *μοι* codex) *λέγε κτλ.* Eustathius II. 9, 41. *Ἄγε μοι, δῖα χ., φωνάεσσα γένοιο.* Posui Hermogenis scripturam cum Bergkio Anacr. 37. Blomfieldius *ἄγε, δῖα χελύννη, λέγε, φωνᾶσσα δέ μοι γένοιο*, quum Orio Theb. 28. *χελύννη* poetriam dixisse testetur. Ceterum similiter Hor. Carmm. I, 32, 3. III, 11, 3.

64.

Τάδε νῦν ἑτάραις ταῖσιν ἐμαῖς τερπνὰ καλῶς ἀείσω.

65.

Φιλία καλὸν δαμόσιον.

66.

Εὐμορφοτέρα Μνασιδίκα τᾶς ἁπαλᾶς Γυρίννως ἀσαροτέρας οὐδαμά πω, ϝράννα, σέθεν τυχοῖσα.

Fr. 64. Athen. XIII, 571, D. *Καλοῦσι γοῦν καὶ αἱ ἐλεύθεραι γυναῖκες ἔτι καὶ νῦν καὶ αἱ παρθένοι τὰς συνήθεις καὶ φίλας ἑταίρας, ὡς ἡ Σαπφώ· Τ'ὰδε κτλ.* Libri *ἑταίραις ταῖς:* recte Blomfieldius, cfr. fr. 82. Seidlerus 296. — ∪ — ∪ — *τάδε νῦν ἑταίραις | Ταῖς ἐμαῖσι τερπνὰ καλῶς ἀείσω.*

Fr. 65. Eustath. Opusce. 345, 54. *Φιλία τις δηλαδὴ παλυρέμβαστος καὶ καλὸν δοκοῦσα, εἴποι ἂν ἡ Σαπφώ, δημόσιον.* De suo amore virginum Lesbiarum dicebat poetria, si recte judico, idque universae civitatis bonum praedicabat. Instituebat enim et ad venustatem morum conformabat. Summi momenti locus, si recte explicuimus.

Fr. 66. Hephaestio 64. *Καὶ τετράμετρα δὲ ἀπὸ μείζονος ἰωνικὰ ἀκατάληκτα διαφόρως συνέθεσαν· καὶ γὰρ τρισὶν ἰωνικαῖς μίαν τροχαϊκὴν τὴν τελευταίαν ἐπήγαγον· καλεῖται δ' Αἰολικὸν, ὅτι Σαπφὼ πολλῷ αὐτῷ ἐχρήσατο, οἷον· Εὐμ. κτλ.* 1. Libri fere *γυρίνω, γυρίννω, ἀργυρίννω:* et *γυρίννω* Longinus quoque fr. 3, 4. affert. Sed Choeroboscus Aldi fol. 268, B. de genitivo in ῶς loquens: *Καὶ πάλιν· Ἀμορφότερον Μναΐδος, καὶ τῆς ἁπλῶς πυρινῶς. ἔστιν ἡ Μνηΐς αὕτη καὶ ἡ πυρινὼ ὀνόματα κύρια.* Etym. M. 243, 51. *Γυριννώ: ὄνομα κύριον Λεσβίας κόρης. εἴρηται παρωνύμως παρὰ τὸ γυρίνος, ὃ δηλοῖ τὸν βάτραχον, Γυριννὼ, ὡς ἔρατος Ἐρατώ, καὶ κλέος Κλεὼ καὶ Κλείω.* Cfr. Jacobs. in Wolfii Anall. I, 101. Maximo Tyr. XXIV. est *Γύριννα*, v. fr. 1, 20. 2. Vulgo *ἀσαροτέρα σοῦ δ' ἄμ' ἐπώρανεν σέθεν τυχοῦσα:* codex N *ἀσ. σ. δ' ἄμ' ἐπ' ὤρανε σέθεν τυχοῖσα:* C *ἀσαρωτέρα σουδαμὰ πωρανα σέθεν τυχοῖσαν.* Hinc *τύχοις ἄν* Blomfieldius idemque *πω ϝραννὰ:* Neuius *ἀσαροτέρας οὐδάμ' ὑπωράνια σέθεν τύχοις ἄν.* Ascivi scripturam Hermanni 125. *Formosior tenera Gyrinnone Mnasidica fastidiosiorem nullo modo dum, amabilis, quam te experta.* In sqq. ὦ cum vocativo perso-

67.

Σὺ δὲ στεφάνοις, ὦ Δίκα, περθέσθ' ἐραταῖς φόβαισιν,
ὔρπακας ἀνήττω συνεέρραισ' ἀπαλαῖσι χερσίν·
εὐανθεῖα γὰρ πέλεται καὶ χάριτες μακαίρᾳ
μᾶλλον προτόρην· ἀστεφανώτοισι δ' ἀπυστρέφονται.

68.

Πολλά μοι τὰν Πολυανακτίδαο
παῖδα χαίρην.

69.

Κατθανοῖσα δὲ κείσεαι οὐδ' ἔτι τις μναμοσύνα σέθεν

---

nae, ad quam haec dicta, sequebatur. Ceterum Welckero 419. nulla utriusque versus communio videtur.

Fr. 67. Athen. XV, 674, E. *Σαπφὼ ἁπλούστερον τὴν αἰτίαν ἀποδίδωσι τοῦ στεφανοῦσθαι ἡμᾶς λέγουσα τάδε· Σὺ δὲ στεφάνοις ὤδικα παρθέσθ' ἐρ. φ. ὄ. ἀνήτω συνερραὶς ἁπ.* (ἀπαλλαγίση A) *χ. Εὐάνθεα γὰρ π. καὶ Χάριτες* (χάρις Canter. B) *μάκαιρα μᾶλλον προτέρην ἀστ.* (*προτέρηνα στεφάνω τοῖσιν* B: recte Casaubonus) *δ' ἀπυστρέφονται. ὡς εὐανθέστερον γὰρ καὶ κεχαρισμένον μᾶλλον τοῖς θεοῖς παραγγέλλει στεφανοῦσθαι τοὺς θύοντας.* In his Neuius sanavit *συνεέρραισ'* (Buttm. Gr. Max. II, 42.); Seidlerus 295. *πέρθεσθ'* (v. Bentlej. Hor. Carmm. I, 7, 7.), *προτόρην* (h. e. *προσορᾶν*); Hermannus 126. *εὐανθεῖα* (*Blumenschmuck*) et *μακαίρᾳ*, ut de sacris Veneri faciundis cogitetur: *ἀπυστρέφονται*, Dii universe. Denique Welckerus 421. versu 1. *ὦ Δίκα*, cujus vocis *ᾱ* corripi poterat, ut in *νύμφα:* Aeoles maxime ad corripiendas syllabas proclives. Est id *ὑποκοριστικὸν* nominis *Μνασιδίκα*, quod Ovidio Mnais est, cfr. fr. 66., ut *Ἴφις, Τψώ, Εἰδώ* pro *Ἰφιάνασσα, Τψιπύλη, Εἰδοθέα.* 4. Seidlerus *εὐάνθεα μὲν γὰρ π. κεὐχάριτ' ἐς μάκαιρας μᾶλλον προτόρην.*

Fr. 68. Max. Tyr. XXIV. *Νῦν μὲν ἐπιτιμᾷ Σαπφὼ Γοργοῦ καὶ Ἀνδρομέδᾳ, νῦν δὲ ἐλέγχει καὶ εἰρωνεύεται αὐτὰ ἐκεῖνα τὰ Σωκράτους· τὸν Ἴωνα χαίρειν φησὶν ὁ Σωκράτης· Πολλά μοι τὰν Πολυάνακτος* (*Πολυανακτίδα* codex Harlej.) *π. χ., Σαπφὼ λέγει.* Hermannus 138. Sapphicum metrum esse perspexit: idem *χαίρην* dedit notavitque in pronunciatione *Πολλυανακτίδαο* efferendum esse.

Fr. 69. Stob. Floril. IV, 12. *Σαπφοῦς πρὸς ἀπαλ-*

ἔσσετ᾽ οὐδέποτ᾽ [εἰς] ὕστερον· οὐ γὰρ πεδέχεις βρόδων
τῶν ἐκ Πιερίας, ἀλλ᾽ ἀφανὴς κὶν Ἀΐδα δόμοις
φοιτάσεις πεδ᾽ ἀμαυρῶν νεκύων ἐκπεποταμένα.

70.

Αἴ με τιμίαν ἐποίησαν ἔργα
τὰ σφὰ δοῖσαι.

71.

Ἔχει μὲν Ἀνδρομέδα καλὰν ἀμοιβάν.
Ψάπφοι, τί τὰν πολύολβον Ἀφροδίταν;

δευτον γυναῖκα. Plutarchus Praecc. Conj. fin. Ἡ Σαπφὼ διὰ τὴν ἐν τοῖς μέλεσι καλλιγραφίαν ἐφρόνει τηλικοῦτον, ὥσπε γράψαι πρός τινα πλουσίαν· Κατθανοῦσα δὲ κείσεαι, οὐδέ τις μνημοσύνα σέθεν ἔσεται· οὐ γὰρ μετέχεις ῥόδων τῶν ἐκ Πιερίης. Sympos. III, 646. Ὅτι γε ταῖς Μούσαις ὁ τῶν ῥόδων στέφανος ἐπιπεφήμισται, μεμνῆσθαί μοι δοκῶ Σαπφοῦς λεγούσης πρός τινα τῶν ἀμούσων καὶ ἀμαθῶν γυναικῶν· Κατθανοῖσα δὲ κ., οὐ γὰρ μ. (codd. πεδέχεις) ῥ. τῶν ἐκ Π. Aristides II, 377. (508. Dindorf.) Οἶμαι δέ σε καὶ Σαπφοῦς ἀκηκοέναι πρός τινας (τινα Seidlerus) τῶν εὐδαιμόνων δοκούσῶν εἶναι γυναικῶν μεγαλαυχουμένης, καὶ λεγούσης, ὡς αὐτὴν αἱ Μοῦσαι τῷ ὄντι ὀλβίαν τε καὶ ζηλωτὴν ἐποίησαν, καὶ ὡς οὐδ᾽ ἀποθανούσης ἔσται λήθη. 1. Κείσεαι οὐδέποτε Stobaei codd.: κεῖσθαι Trincav.: κείσεαι Neuius, οὐδέποτα Blomfieldius. Nos ex Plutarchi οὐδέ τις μν. dedimus οὐδ᾽ ἔτι τις cum Spengelio, qui recte observat, opponi haec praegressis, quorum haec fere fuerit sententia: *Ut nunc fortunata habeare, at mortua jacebis oblivione obruta.* 2. εἰς addidit Grotius: οὔτε τότ᾽ οὔτ᾽ ὕστερον Hermannus, qui primo versu οὐδέ ποτα μν. dedisset. βρόδων Brunckius; Orio Theb. 140. βρόδον ex Sapphone diserte citat, cfr. Exx. Critt. III, 14. 4. *Obscura etiam per Ditis domos inter exiles umbras errabis vecors.* Ceterum cfr. fr. 31.

Fr. 70. Apollon. Pron. 404, A. Αἰολεῖς ἀμμέτερον καὶ ἄμμον καὶ ὔμμον καὶ σφόν. Σαπφώ· Ἔμε κτλ. Αἴ με Seidlerus 306. Dicit Musas.

Fr. 71. Hephaestio 82. Ἀνακλωμένου ὄντος τοῦ ἰαμβικοῦ, προταχθεῖσα ἰαμβικὴ ἑξάσημος ἢ ἑπτάσημος ποιεῖ τὸ τοιοῦτον, οἷον παρὰ Σαπφοῖ· Ἔχει κτλ. Non videntur versus

72.

Ὄττινας γὰρ
εὖ θέω, κῆνοί με μάλιστα σίνονται.

73.

Μάλα δὴ κεκορημένας
Γόργως.

74.

Τίς τοι ἀγροιῶτις ἀγροιῶτιν ἐπεμμένα
σπόλαν . . . θέλγει νόον, ...
οὐκ ἐπισταμένα τὰ βράκε' ἔλκην ἐπὶ τῶν σφυρῶν;

---

nexi fuisse: et Scholiasta alterum versum δεύτερον παράδειγμα vocat. Cfr. Hermann. 131 sq. De Andromeda v. fr. 74. 2. Ψαφοῖ codd. BHC: ψάφοι Flor.: ψάπφοι τιτὰν codex Pal. Hermanni El. D. M. 812. Cfr. ad carmen 1, 20.

Fr. 72. Et. M. 449, 32. Θέλομεν: ὑποτακτικὸν δευτέρου ἀορίστου, ἔχον διαίρεσιν καὶ πλεονασμόν· Ὅφρ' ἂν ἐγὼ βείω· καὶ τὸ ἐὰν στῶ· Μήπως με περιστείωσ' ἕνα πολλοί. ὥσπερ δαμῶ δαμείω, οὕτω θῶ θέω, καὶ παρὰ Σαπφοῖ· Ὄττινας γὰρ εὖ θέω, κεῖνοί με κτλ. κῆνοι Blomfieldius: εὖ θεῖναί τινα illustrat Elmslejus Eur. Med. 896.

Fr. 73. Choeroboscus περὶ τῶν εἰς ω θηλυκῶν Aldi Cornue. fol. 268. Καὶ δηλοῦσιν αἱ χρήσεις οὕτως ἔχουσαι· τὸ δὲ ἐκ Σαπφῶς ὀμελγόμενος μέν τοι φέρω· καὶ παρ' αὐτῇ τῇ Σαπφοῖ· Μάλα δὴ κεκορημένη στοργᾶς. Ursinus κεκορημένος στόργος: recte scripsit Bergkius Anacr. 88., cui fr. VI. Smerdis est τρὶς κεκορημένος, h. e. ἐκσεσαρωμένος, ὑβρισμένος. De Gorgone v. Max. Tyr. ad fr. 68.

Fr. 74. Athen. I, 21, C. de decoro vestitu agens: Σαπφὼ περὶ Ἀνδρομέδας (fr. 71.) σκώπτει· Τίς δ' ἀγροιώτις τὴν θέλγει νόον, οὐκ ἐπισταμένη τὰ βράκεα ἕλκειν ἐπὶ τῶν σφυρῶν; Eustath. 1916, 49. omittit τοι; addit autem: ἦγουν ποία γυνὴ χωριτικὴ, ἐζωσμένη ἀγροικικώτερον, ἐφέλκεται ἐραστήν; Max. Tyr. XXIV. Κωμῳδεῖ Σωκράτης σχῆμά που καὶ κατάκλισιν σοφιστοῦ, καὶ Σαπφώ· Τίς δ' ἀγροιώτιν ἐπεμμένα στολήν; σπόλαν Hermannus 119. Bergkius 213. (cll. ad Anacr. 23.) [Ἀθί,] τίς δέ σ' ἀγροιώτις ἀγροιώτιν ἐπ. Dedi quod ex collatis inter se Athenaei Maximique locis verisimile videbatur. 3. βράκεα, v. Apollon. de Conj. 507, 20.

75.

Ἤρων ἐξεδίδαξε γυάρων + τὰν ἀνυοδρόμον.

76.

Κρῆσσαί νύ ποτ' ὦδ' ἐμμελέως πόδεσσιν
ὠρχεῖντ' ἀπαλοῖς ἀμφ' ἐρόεντα βωμὸν
πόας τέρεν ἄνθος μαλακὸν ματοῖσαι.

77.

Ἔστι μοι καλὰ πάϊς, χρυσέοισιν ἀνθέμοισιν

Fr. 75. Choeroboscus Aldi Cornuc. fol. 268. *Τὴν αἰτιατικὴν οἱ Αἰολεῖς καὶ μόνοι προσθέσει τοῦ ν ἐποίουν τὴν λητῶν (Λάτων), ὡς καὶ ἡ χρῆσις δηλοῖ· ἠρὼν ἐξεδίδαξε γυάρων + τὴν ἀνυοδρόμον. αἰτιατικῶς γάρ ἐστιν ἀπὸ εὐθείας τῆς ἠρώ (Ἥρω).* Scribendum aut *ταυσίδρομον* aut *ταυύδρομον* dicebam Exx. Critt. XI, 67. *Ἥρω* fuit, opinor, amica poetriae: Gyarum patriam poterat habere (*ἐκ Γυάρων?*). Hermannus mihi scripsit, sic sibi legendum videri: *Ἤρων ἐξεδίδαξεν γυάλων τὰν ἀνυσίδρομον* vel *ταναόδρομον*. Nunc aliud venit in mentem. Ipsam enim Erinnam, Sapphonis discipulam, *ὑποκοριστικῶς*, opinor, dixerat *Ἤρων*, v. ad fr. 67, 3. Quid, si sic: *Ἤρων ἐξεδίδαξε Γυρίννω . . . . Τηλίαν τὰν ταναόδρομον?* ut Gyrinno natu minorem Erinnam instituisse diceretur, quae tamen Sapphus *μαθήτρια* et esse et haberi poterat.

Fr. 76. Hephaestio 63. *Τὰ ἀπὸ μείζονος ἰωνικὰ τρίμετρα ἀκατάληκτα διχῶς συνέθεσαν οἱ Αἰολεῖς· τὰ μὲν γὰρ ἐκ δύο ἰωνικῶν καὶ τροχαϊκῆς ἐποίησαν βάσεως, οἷον· Κρῆσσαί κτλ.* Tertium versum affert 65. *Παρατηρεῖν δὲ χρή, ὅτι τὴν πρώτην τῶν τετραμέτρων συζυγίαν καὶ ἀπὸ βραχείας ἀρχομένην ποιοῦσιν, ὥσπερ καὶ ἐν τοῖς τριμέτροις· Πόας κτλ.* Probabiliter haec Sapphoni tribuit Blomfieldius: tertium versum Santenius prioribus statim subjungit. 3. Codd. *μάτοισαϊ, ματοισαν:* C et Turnebus *μάτεισαι*, quod tuetur Neuius; Hermannus *ματεῦσαι*. Est i. q. *ματοῦσαι*, cfr. Hesych. *Ματεῖ· πατεῖ.* Ioannes Gramm. 385. *Οἱ Αἰολεῖς τιθέασι τὸ μ ἀντὶ τοῦ π· πατέϊς, ματέϊς· πατοῦσα, ματοῦσα.* Ceterum cfr. Hom. Od. I, 449. Apollon. Rhod. I, 536 sqq. et Welcker. 423 sqq.

Fr. 77. Hephaestio 95. *Ἄλλο ἀσυνάρτητον ὁμοίως κατὰ τὴν πρώτην ἀντιπάθειαν, ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ ἰαμβικοῦ ἐφθημιμεροῦς, ὅπερ ἐὰν παραλλάξῃ τὴν τομήν,*

ἰμφέρην ἔχοισα μορφὰν, Κλαΐς ἀγαπατά,
ἀντὶ τᾶς ἐγὼ οὐδὲ Λυδίαν πᾶσαν, οὐδ' ἰραννάν.

78.

Οὐ γὰρ θέμις ἐν Μοισοπόλω οἰκίᾳ
θρῆνον ἔμμεναι· οὐκ ἄμμι πρέπει τάδε.

79.

Ἐγὼ δὲ φίλεμμ' ἀβροσύναν – ∪ ∪ – ∪ καί μοι
τὸ λαμπρὸν ἔρος Ϝαελίω καὶ τὸ καλὸν λέλογχε.

γίνεται τροχαϊκὸν προκαταληκτικόν· Ἔστι κτλ. Τούτων δὲ τὸ μὲν δεύτερον δῆλόν ἐστιν ἀπὸ τῆς τομῆς, ὅτι οὕτως σύγκειται, ὡς προείρηται, ἐκ τοῦ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ τοῦ ἐφθημιμεροῦς ἰαμβικοῦ κτλ. Sapphoni jam Ursinus dedit, cujus filiam Suidas Cleida appellat. 2. Libri ἐμφερῆ: emendavit Bergkius 217. Choeroboscus Bekkeri 1233. Οἱ Αἰολεῖς δυσμένην λέγουσι καὶ κυκλοτέρην καὶ εὐρυνέφην, εὐθειῶν ὀξυνομένων, οἷον ὁ δυσμενὴς, ὁ κυκλοτερὴς, ὁ εὐρυνεφής. Sappho ipsa fr. 80, 2. ἀβάκην. Alcaeus fr. 55. ἀμένην. Cfr. Lobeck. Parall. 182. 2. Libri ἔχουσα μορφὰν κλεῖς ἀγαπατά: correxit Neuius. Ceterum cfr. Hermann. El. D. M. 599 sqq.

Fr. 78. Max. Tyr. XXIV. Ἀνθάπτεται Σωκράτης τῇ Ξανθίππῃ ὀδυρομένῃ, ὅτι ἀπέθνησκεν, ἡ δὲ Σαπφὼ τῇ θυγατρί· Οὐ γὰρ κτλ. Vulgo μουσοπόλων οἰκία θρ. εἶναι. Correxit Neuius: Hermanno, cui Synecphonesis displiceret, στέγᾳ malebat apud Seidlerum 292. Μοισοπόλῳ οἰκίᾳ, domus Sapphonis, quam Musae frequentare non dedignantur. Sic Neuius: quod dedi et simplicius est (in domo vatis), nec μουσοπόλος est Musis visitatus.

Fr. 79. Athen. XV, 687, A. Σαπφὼ, γυνὴ μὲν πρὸς ἀλήθειαν οὖσα καὶ ποιήτρια, ὅμως ἠθέσθη τὸ καλὸν τῆς ἀβρότητος ἀφελεῖν λέγουσα ὧδε· Ἐγὼ δὲ φίλημ' κτλ. φανερὸν ποιοῦσα πᾶσιν ὡς ἡ τοῦ ζῆν ἐπιθυμία τὸ λαμπρὸν καὶ τὸ καλὸν εἶχεν αὐτῇ. ταῦτα δ' ἐστὶν οἰκεῖα τῆς ἀρετῆς. 1. φιλήμμια βροσύναν Cam. L: φίλημμι (sed alterum μ punctis notatum) ἀβρ. B: φίλημμι et A. Scripsi φίλεμμι, v. 1, 18. 2. Vulgo ἔρος ἀελίω. Vide Seidler. 294. Mihi, ait, obvenit gaudium vitae quod eximium est et pulchrum. Λαμπρὸν est fere i. q. ἁβροσύνη.

80.

Ἀλλά τις οὐκ ἐμὶ παλιγκότων
ὀργὰν, ἀλλ' ἀβάκην τὰν φρεν' ἔχω.

81.

Μνάσασθαί τινά φαμι καὶ ὕστερον ἀμμέων.

82.

Λάτω καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἑταῖραι.

83.

[*Ὁ πλοῦτος*] *ἄνευ δ' ἀρετᾶς οὐκ ἀσινὴς πάροικος·*
ἀ δ' ἐξ ἀμφοτέρων κρᾶσις ἔχη εὐδαιμονίας τὸ ἄκρον.

Fr. 80. Et. M. 2, 45. *Ἀβακής· κέχρηται αὐτῷ Σαπφώ, οἷον· Ἀλλά τις οὐκ ἔμμεν (ἐμμὶ* Ursinus) *παλιγκότων ὀργάνων (παλίγκοτος ὀργὰν* Ursinus), *ἀλλ' ἀβακὴν* (v. fr. 77, 2.) *τὰν φρένα ἔχω. ἀντὶ τοῦ ἡσύχιον καὶ πρᾶον.* Correxit Neuius. De v. *ἀβακὴς* v. Bergk. Anacr. fr. LXXVIII, 4.

Fr. 81. Dio Chrys. II, 128. Rsk. *Μνάσασθαί τινα φάμη καὶ ἕτερον ἀμμέων· πάνυ γὰρ καλῶς εἶπεν ἡ Σαπφώ. φαμὶ* Casaubonus: *καὶ ὕστερον* Volgerus. De aoristo *μνάσασθαι* (Blomfieldius *μνάσεσθαι*) v. Lobeck. Phryn. Parerg. 6. Ceterum cfr. Seidler. 176. Hermann. 115. Welcker. 415. et compara fr. 69.

Fr. 82. Athen. XIII, 571, D. post allatum fr. 64. *Καὶ ἐπ' Λατῶ κτλ.* Niobae liberos bis novenos dixerat Sappho teste Gellio N. A. XX, 7. Puto hoc exemplo poetriam a superbia et magniloquentia absterrere voluisse. Ceterum cfr. Muelleri Archaeolog. p. 663. de vasculo picto, in quo Niobidae cum Letoïdis amice juncti, Nioba cum Latona.

Fr. 83. Scholl. Pind. Ol. II, 96. post allatum Call. Hymn. in Jov. 95. 96. *Καὶ Σαπφώ· Πλοῦτος ἄνευ ἀρετῆς (ὁ πλοῦτος* et *ἀρετᾶς* ad Pyth. V, 1. *σύνοικος* Scholl. recentiora.) *οὐκ ἀσ. πάρ., ἁ δ' ἐξ ἀμφ. κρᾶσις εὐδ. ἔχει τὸ ἄκρον (τἄκρον* Ursinus). Hermannus 127 sq. et *ὁ πλοῦτος* et Plutarchi de Nobil. 981. Wyttenb. *εὐγένεια* scriptoribus illis remittit: Sapphonem *ὄλβον* videri scripsisse. Scribit autem: *ἄνευ δ' ἀρετᾶς οὐκ ἀσ. πάροικος· | ἁ δ' ἀμφ. κρ. ἔχησι τἄκρον | εὐθαιμονίας.* Giesius 786. *Ὁ μὲν πλ. ἄνευ τᾶς ἀρ. οὐκ ἀσ. κ. | Ἁ δ' ἐξ ἀ. κρ. ἔχη εὐδ. τὸ ἄκρον.* Bergkius Anacr. 107. versu

84.

Σκιδναμένας στήθεσιν ὀργᾶς πεφυλάχθαι
γλῶσσαν μαψυλάκαν.

85.

Ἀποθνάσκειν κακόν· οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν·
ἀπίθνασκον γὰρ ἄν, αἴπερ ἦν καλὸν [δή μ'] ἀποθνάσκειν.

86.

Ἄλλα, μὴ μεγαλύνεο δακτυλίω πέρι.

87.

Ἄλλα, μὴ κάμε τὺ στερέαν φρένα.

88.

Ἄβρα δῆυτε πάχη σπόλᾳ ἀλλόμαν.

---

priore eodem modo scripto alterum sic emendat: *Α δ' ἐξ ἀ. σύγκρισις εὐδαιμ. ἔχει ἄκρον.* Welckerus 472. *ἔχει* exturbato legit *εὐδαιμονίας τὸ ἄκρον.* Sequor Giesium.

Fr. 84. Plutarch. Morall. II, 457, E. *Ἐν ὀργῇ σεμνότερον οὐδὲν ἡσυχίας οὔσης, ὡς ἡ Σαπφὼ παραινεῖ, σκιδναμένης ἐν στήθεσιν ὀργῆς π. γλ. μαψυλάκταν.* Seidlerus 306. liberius conformavit: adoptavi Hermanni scripturam 139., sed is *στάθεσιν* scripsit. Lobeckius Parall. 461. *μαψύλακτον* vel *μαψυλάκτιν* optat. Cfr. Boeckh. Nott. Critt. Pind. Nem. VII. fin.

Fr. 85. Aristoteles Rhet. II, 23. inter varia ratiocinandi genera hoc quoque numerat, si quis ad judicium eorum provocet, a quibus dissentire nefas sit: *Ὥςπερ Σαπφὼ, ὅτι τὸ ἀποθνήσκειν κακόν. οἱ θεοὶ γὰρ οὕτω κεκρίκασιν· ἀπέθνησκον γὰρ ἄν.* Gregor. in Hermog. 896. *τοῦτο κεκρ.*, tum addit: *εἴπερ ἦν καλὸν τὸ ἀποθνήσκειν.* Seidlerus 177. ∪ ∪ — ∪ — ∪ — — *ἀποθνάσκειν | κακόν· οἱ θ. γ. οὕτω κεκρ. | ἀπέθνασκον γὰρ ἄν.* Hermannus 114. ita constituit ut edidimus.

Fr. 86. 87. 88. Herodianus *περὶ μον.* 26, 20. *Ἐφυλαξάμην δὲ διαλέκτους διὰ τόδ', Ἀλλ' ἄνθμοι μ. δακτυλίῳ πέρι καὶ ἄλλαν μη καμεστέραν* (supra εσ a rec. manu in cod. scriptum τι) *φρένα καὶ ἄβρα· δεῦτε πάγχης πάλαι*

IV. Ἰλίου Πέρσις.

9.

Οὕνεκα Τυνδάρεως ῥέζων ἅπασι θεοῖσι μιᾶς λάθετ' ἠπιοδώρου
Κύπριδος· κείνα δὲ Τυνδάρεω κούραισι χολωσαμένα
διγάμους τριγάμους τε τίθησι
καὶ λιπεσάνορας.

10.

Ἑλένα ἑκοῦσ' ἀπῆρε.

V. Ἑλένα.

11.

Οὐκ ἔστ' ἔτυμος λόγος οὗτος·

III. *Συοθῆραι.* Suspicantur hoc carmen fuisse de venatione apri Calydonii.

Fr. 8. Athen. III, 95, D. *Στησίχορός φησιν ἐν Συοθήραις· Κρύψαι κτλ.* κρύψε Dindorfius.

IV. *Ἰλίου Πέρσις.* Conferenda Tabula Iliaca, in qua *Ἰλίου πέρσις κατὰ Στησίχορον*, v. Niebuhr. Hist. Rom. I, 191. Welcker. l. c. 256 sqq.

Fr. 9. Scholl. Eurip. Orest. *Στησίχορός φησιν, ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο· ἡ δὲ θεὸς ὀργισθεῖσα διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ἐποίησεν. Ἔχει δὲ ἡ χρῆσις οὕτως· Οὕνεκα κτλ.* Sic scripsi in Zimmermanni Diar. Philoll. 1836, III. p. 694. Libri *θεοῖς, λάθετο, κούραις, χολωσαμένη, διγ. τε καὶ τριγάμους τίθησι καὶ λιπεσήνορας.* Schoemannus *ἅμα πᾶσι* et *κόραις.* 3. *τριγάμους*, quod Helena antequam Menelao nupsisset, Theseum habuerat maritum, Stesichorus Paus. II, 22, 7. Ad Iliupersidem haec rettuli cum Welckero l. c. 260.

Fr. 10. Ptolem. Hephaest. IV, 320. Gale. *Ἀρχέλαος ὁ Κύπριος Στησιχόρου φησὶ τοῦ ποιητοῦ Ἑλένην Ἱμεραίαν ἐρωμένην γενέσθαι, Μικύθου θυγατέρα· ἀποστᾶσαν δὲ Στησιχόρου καὶ πρὸς Βούπαλον πορευθεῖσαν ἀμυνόμενον τῆς ὑπεροψίας τὸν ποιητὴν γράψαι· Ἑλένη κτλ. Ψευδῆ δὲ τὸν περὶ τῆς πηρώσεως εἶναι λόγον.* Haec inepta: Stesichorus in Excidio Trojae Helenam vituperaverat.

V. *Ἑλένα.* Ovid. Art. Am. III, 49.

Probra Therapnaeae qui dixerat ante maritae
Mox cecinit laudes prosperiore lyra.

οὐδ' ἔβας ἐν νηυσὶν ἐϋσσέλμοις
οὐδ' ἵκεο πέργαμα Τροίας.

12.

Τρῶες, οἳ τότ' ἦσαν Ἑλένας εἴδωλον ἔχοντες.

13.

Ὤιχτειρε γὰρ αὐτὸν ὕδωρ ἀεὶ φορέοντα
Διὸς κούρα βασιλεῦσιν.

Horat. Epod. XVII, 42 sqq.
Infamis Helenae Castor offensus vice
Fraterque magni Castoris, victi prece,
Adempta vati reddidere lumina.
Disputarunt de carmine Stesichori celebratissimo Welckerus in censura l. c. 267 sqq. Hermannus in Praef. Eurip. Helen. VIII sqq. In Excidio Trojae, ut videtur, Stesichorus Epicorum poetarum exemplum secutus tristissimi belli caussam Helenam fecerat. Tum occaecatum monitu ipsius Helenae in Leuca insula Achilli sociatae palinodia cantata visum recepisse populares ipsius fabulabantur, v. Paus. III, 19, 11. Hermias in Plat. Phaedr. 60. Ast.

Fr. 11. Plat. Phaedr. 243, A. *Ἔστι τοῖς ἁμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος, ὃν Ὅμηρος μὲν οὐκ ἤσθετο, Στησίχορος δέ. τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν, οὐκ ἠγνόησεν, ὥσπερ Ὅμηρος, ἀλλ' ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτίαν καὶ ποιεῖ εὐθύς· Οὐκ κτλ.*
2. *ναυσὶν* Naeklus Choeril. 120., quem vide. Adde Buttmann. Mythol. I, 300.

Fr. 12. Tzetza Lycophr. 113. *Λέγουσιν, ὅτι διερχομένῳ Ἀλεξάνδρῳ δι' Αἰγύπτου Πρωτεὺς Ἑλένην ἀφελόμενος εἴδωλον Ἑλένης αὐτῷ δέδωκε καὶ οὕτως ἔπλευσεν ἐς Τροίαν, ὡς φησι Στησίχορος· Τρῶες κτλ.* Huc pertinet Plato Rep. IX, 586, C. *Τὸ τῆς Ἑλένης εἴδωλον ὑπὸ τῶν ἐν Τροίᾳ Στησιχόρου φησι γενέσθαι περιμάχητον ἀγνοίᾳ τοῦ ἀληθοῦς.* Helenam ipsam dixerat omnino navi avectam non esse: Dio Chrys. XI, 328. Rsk. *Τὸν μὲν Στησίχορον ἐν τῇ ὑστέρου ᾠδῇ λέγειν, ὅτι τὸ παράπαν οὐδὲ πλεύσειεν ἡ Ἑλένη οὐδαμόσε.* Igitur nec in Aegypto remansisse facere poterat; ut fallat Tzetza.

Fr. 13. Athen. X, 456, F. *Ἀνακομίζοντος αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειόν, διὰ τὸ μυθολογεῖσθαι τοῦτο ὀφῶν ἐκεῖνον καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ* (in Ceo insula) *τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησιν· Ὤιχτειρε κτλ.*
2. *Διὸς κούροις* Eustathius. Helenam intellige.

14.

Πολλὰ μὲν Κυδώνια μᾶλα ποταῤῥίπτουν ποτὶ δίφρον ἄνακτι,
πολλὰ δὲ μύῤῥινα φύλλα
καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας.

VI. Ὀρεστεία.

15.

Τοιάδε χρὴ Χαρίτων δαμώματα
καλλικόμων ὑμνεῖν Φρύγιον μέλος ἐξευρόντα
ἁβρῶς ἦρος ἐπερχομένου.

16.

Τᾷ δὲ δράκων ἐδόκησε μολεῖν κάρα βεβροτωμένος ἄκρον·
ἐκ δ' ἄρα τοῦ βασιλεὺς Πλεισθενίδας ἐφάνη.

Fr. 14. Athen. III, 81, B. *Κυδωνίων μήλων μνημονεύει Στησίχορος ἐν Ἑλένῃ οὕτως· Πολλὰ μὲν κτλ.* De nuptiis Menelai et Helenae, ut videtur. Teste Schol. Argum. Theocriti XVIII Stesichorus fecerat Helenae Epithalamium, ex quo quaedam mutuatum dicit Theocritus. Infuisse videtur Epithalamium in Helena, non per se constituisse. Cfr. ad fr. 32. 1. Fort. *ποτερῥίπτον* vel *ποτερῥίπτευν* dederat poeta. Similiter Pindarus Pyth. IX, 122. Ibyc. fr. 5. 3. *κορωνίδας οὔλας*, v. Buttmann. Lexil. I, 186.

VI. *Ὀρεστεία.* Athen. XII, 513, A. *Πολλὰ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.* Ipse Stesichorus teste Athenaei Megaclide dixerat, v. Welcker. Cycl. Ep. 199.

Fr. 15. Scholl. Arist. Pac. 772. (797.). *Ἔστι παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας· Τοιάδε κτλ.* Cfr. Ibyc. Rheg. Prolegg. 52. Mueller. in Aesch. Eum. 94. 1. *δαμώματα*, *τὰ δημόσια ᾄδόμενα* Scholl., sed Hesychius *παίγνια*. 2. *ἐξευρόντας ἁβρῶς κτλ.* in gratiam pentametri conjicit Kleinius.

Fr. 16. Plut. Morall. II, 555, A. *Πρὸς τὰ γενόμενα καὶ πρὸς τὴν ἀλήθειαν ἀποπλάττεται τὸ τῆς Κλυταιμνήστρας ἐνύπνιον ὁ Στησίχορος, οὕτωσί πως λέγων τάδε* (τᾷ δὲ Reiskius)· *Δρᾴκων κτλ.* Euripidi Orest. 469. 1406. est Orestes *μητροφόντης δράκων*. Nam Clytaemnestra Aesch. Choeph. 527. *τέκεῖν δράκοντ' ἔδοξεν*. Alii Agamemnonem intelligunt: at quorsum *δράκων*?

VII. Ῥαδινά.

17.

Ἄγε Μοῦσα λίγει', ἄρξον ᾠδᾶς, ἐρατῶν ὕμνους
Σαμίων περὶ παίδων ἐρατᾷ φθεγγομένα λύρᾳ.

VIII. Ἐξ ἀδήλων ᾠδῶν.

18.

Λεῦρ' ἄγε Καλλιόπεια λίγεια.

19.

Μοῦσα ἀρχεσίμολπος.

20.

Αὐτόν σε πυλαμάχε πρῶτον.

VII. Ῥαδινά. **Strabo VIII, 347.** Ἡ Ῥαδινὴ, ἣν Στησίχορος ποιῆσαι δοκεῖ, ἧς ἀρχή· Ἄγε κτλ. ἐντεῦθεν λέγει τοὺς παῖδας· ἐκδοθεῖσαν γὰρ τὴν Ῥαδινὴν ἐς Κόρινθον τυράννῳ φησὶν ἐκ τῆς Σάμου πλεῦσαι πείσαντος ζεφύρου, οὗ δήπουθεν τῆς Ἰωνικῆς Σάμου· τῷ δ' αὐτῷ ἀνέμῳ καὶ ἀρχιθέωρον εἰς Δελφοὺς, ὄντα ἀδελφὸν αὐτῆς, ἐλθεῖν· καὶ τὸν ἀνεψιὸν ἐρῶντα αὐτῆς ἅρματι εἰς Κόρινθον ἐξορμῆσαι παρ' αὐτήν· ὃ τε τύραννος κτείνας ἀμφοτέρους ἅρματι ἀποπέμπει τὰ σώματα, μεταγνοὺς δ' ἀνακαλεῖ καὶ θάπτει. **Fallitur Strabo: Paus. VII, 5, 6.** Σαμίοις κατὰ τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης καὶ Λεοντίχου μνῆμά ἐστι, καὶ τοῖς ὑπὸ ἔρωτος ἀνιωμένοις εὔχεσθαι καθέστηκεν ἰοῦσιν ἐπὶ τὸ μνῆμα. **l. Libri** *Μῶσα*.

VIII. Ἐξ ἀδήλων ᾠδῶν. **Fr. 18. Eustath. Il. 9, fin.** Οὐ μόνον Ἡσίοδος ἐκ τῆς τῶν Μουσῶν ἐπικλήσεως ἄρχεται, ἀλλὰ καὶ Στησίχορος ἐν τῷ· Λεῦρ' κτλ. **Cfr. Alcmanis frr. 7. 28. Heindorf. Plat. Phaedr. 237. Horat. Carmm. III, 4.**

Fr. 19. Athen. V, 180, E. Καλεῖ Στησίχορος τὴν Μοῦσαν ἀρχεσίμολπον.

Fr. 20. Athen. IV, 154, F. Ὁπόταν παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει· ὡς ἐν τῷ πυγμάχος, ναυμάχος· Αὐτόν κτλ. παρὰ Στησιχόρῳ· **Intellige** *canam, invocabo, praedicabo.* **Scholl. Il. E, 31.** (Ἄρες — τειχεσιπλῆτα) **haec ad Mar-**

21.

(*Ποσειδῶν*) *κοιλωνύχων ἵππων πρύτανις.*

22.

Πάτρω᾽ ἐμὸν ἀντίθεον Μελάμποδα.

23.

Ἐρίσφηλος Ἡρακλῆς.

24.

Μάλα τοι μάλιστα
παιγμοσύνας φιλέει μολπάς τ᾽ Ἀπόλλων᾽.
κάδεα δὲ στοναχάς τ᾽ Ἄϊδος ἔλαχεν.

25.

Ἀτελέστατα γὰρ καὶ ἀμάχανα τοὺς θανόντας κλαίειν.

---

tem spectare docent. Cfr. Lobeck. Phryn. 648. Callimachum in Scholl. Od. *Γ*, 380. ibique Buttmannum, denique Exx. Critt. IV, 16 sq.

Fr. 21. Scholl. H. *Z*, 507. *Στησίχορος κοιλωνύχων ἵππων πρύτανιν τὸν Ποσειδῶνά φησιν.* Fortasse in *Ἄθλοις.*

Fr. 22. Eustath. Il. 316, 16. *Πίνδαρος οὐκ ἀδελφοὺς, ἀλλὰ γονέας μητρὸς μάτρωας ἔφη· Στησίχορος δὲ πάτρωα τὸν κατὰ πατέρα πρόγονον εἶπεν, ἔνθα παρ᾽ αὐτῷ Ἀμφίλοχος ἔφη τό· Πάτρωα κτλ. Μελάμπους γὰρ, οὗ Ἀντιφάτης, οὗ Οἰκλῆς, οὗ Ἀμφιάραος, ὅθεν Ἀμφίλοχος.* Fortasse in Eriphyla, v. Apollod. III, 10, 3.

Fr. 23. Et. M. *ἀναφῆλαι· ἀναῤῥωσθῆναι· σφῆλον γὰρ τὸ ἰσχυρόν· Στησίχορος ἐρ. ἔφη τὸν Ἡρ., ἴσον τῷ ἐρισθενῆ.*

Fr. 24. Plut. Morall. II, 394, B. *Πρότερον ἔτι τούτου ὁ Στησίχορος. Μάλα κτλ.* 2. Legebatur *φιλεῖ.* Kleinius *τε φιλεῖ.* 3. Erat *κήδεα.*

Fr. 25. Stob. Floril. CXXIV, 15. *Στησιχόρου, ἀτέλεστα* B et Ursinus. Legebatur *ἀμήχανα:* Urs. *κ᾽ ἀμήχ.* Cfr. Simonidis Amorg. fr. 2.

26.

Θανόντος ἀνδρὸς
πᾶσ' ἀπόλλυται πατ' ἀνθρώπων χάρις.

27.

Ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών.

28.

Ῥαδινοὺς δ' ἐπέπεμπον ἄξοντας.

29.

Ὑπερθυμέστατον ἀνδρῶν.

30.

Ἀνίψαλλον παῖδα.

31.

Μέσῳ ἄματι νύκτα γενομέναν.

Fr. 26. Stob. Floril. CXXVI, 5. *Στησιχόρου. Θανόντος ἀνδρὸς πᾶσ' ὄλυτ' ἀνθρ. χ.* Teste Gesnero alii: *Θαν. ἀνδρ. πᾶσα πολιὰ ποτ' ἀ. χ.* Jacobsius Lectt. Stob. 12. *Θαν. ἀ. | πᾶσ' ἀπολεῖτ' ἀπό γ' ἀνθρ. χ.* Sequor Kleinium.

Fr. 27. Scholl. Arist. Pac. 774. (800.) *Καὶ αὕτη πλοκὴ Στησιχόρειος· φησὶ γὰρ οὕτως· Ὅταν κτλ.* Cfr. fr. 11. Formam ἦρος notat Buttm. Lexil. I, 121.

Fr. 28. Scholl. Ap. Rh. III, 108. *Στησίχορος ῥαδινὸς λέγει ἐπὶ τοῦ εὐτόνου· Ῥαδινοὺς κτλ.* Scholia Paris. ἔπεμπον.

Fr. 29. Eustath. Odyss. 1441, 16. *Στησίχορος ὑπερθ. ἀνδρῶν.* Notat Eust. ex antiquis commentariis superlativos rariores ἀναγκαιέστατον, ὡραιέστατον, σπουδαιέστατοι, ἐπιτηδειέστατον et reli.

Fr. 30. Crameri Ann. I, 205, 11. *Ἀνίψαλον παῖδα ἔφη ὁ Στησίχορος ἀπὸ τοῦ ἅπτω, ἀφ' οὗ καὶ τὸ* (Il. *Λ*, 454.) *Μίγα δ' ἅψαο λαὸν Ἀχαιῶν.* Rursus 369, 19., ubi explicat *τὴν ἀβλαβῆ*. Cfr. Hesych. Et. M. et Exx. Critt. IV, 16.

Fr. 31. Plut. Morall. 231, E. *Μίμνερμαν ἐπάξει καὶ τὸν Κυδίαν καὶ τὸν Ἀρχίλοχον* (fr. Tetram. 66, 2.), *πρὸς δὲ τρύσους*

καὶ·
Τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ἀτραπόν.

32.

Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ
τοῦ φίλου χόρευσον,
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας
καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει.

XI. Ibyci Rhegini carmina.

Olymp. LX, 1.

Suidas: *Ἴβυκος, Φυτίου· οἱ δὲ Πολυζήλου τοῦ Μεσσηνίου ἱστοριογράφου·* (egregie Bothius *οὐ τοῦ ἱστ.*, ne Polyzelus Rhodius intelligatur, de quo v. Ath. VIII, 361, C.), *οἱ δὲ Κέρδαντος, γένει Ῥηγῖνος. ἐνθένδε εἰς Σάμον ἦλθε* (Provv. Bodlej. 203. *Ἀρχαιότερος Ἰβύκου: ἐπὶ τῶν εὐηθῶν. Ἴβυκος γὰρ τυραννεῖν πολιτῶν δυνάμενος ἀπεδήμησεν εἰς Ἰωνίαν.*), *ὅτε αὐτῆς ἦρχε Πολυκράτης,* * *ὁ τοῦ τυράννου πατήρ. Χρόνος δὲ οὗτος ὁ ἐπὶ Κροίσου, Ὀλυμπιὰς νδ'. Ἐγένε*

Στησίχορον καὶ τὸν Πίνδαρον ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους ἄστρον ὑπέρτατον κλεπτόμενον (Boeckh. fr. 74, p. 600 sq.), *καὶ μέσῳ ἅμα τὴν νύκτα γενομένην* (corrigunt ut edidi supra) *καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ἀτραπὸν . . . φάσκοντας.* Plinius N. H. II, 12, 9. *Misera hominum mente in defectibus scelera aut mortem aliquam siderum pavente, quo in metu fuisse Stesichori et Pindari casum sublimia ora palam est solis deliquio.*

Fr. 32. Aristoph. Pac. 775., ubi Scholl. *Τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου· αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαθεν· σφόδρα δὲ γλαφυρὸν εἴρηται, καὶ ἔστι Στησιχόρειον.* Et ad vv. *κλείουσα κτλ. Ὅτι σύνηθες ἦν τοῖς παλαιοῖς ᾄδειν θεῶν τε καὶ ἡρώων γάμους.* Paene omnia illa Stesichori esse censemus, qui, fortasse Helenae Epithalamium orsus, *maximis bellis clarissimisque ducibus et epici carminis gravitati, quam lyra sustineret*, ad tempus valedixeret.

δὲ ἐρωτομανέστατος περὶ μειράκια καὶ πρῶτος εὗρε τὴν καλουμένην σαμβύκην· εἶδος δέ ἐστι κιθάρας τριγώνου· ἔστι δὲ αὐτοῦ τὰ βιβλία ζ' τῇ Δωρίδι διαλέκτῳ· συλληφθεὶς δὲ ὑπὸ λῃστῶν ἐπ' ἐρημίας, ἔφη, κἂν τὰς γεράνους, ἃς ἔτυχεν ὑπερίπτασθαι, ἐκδίκους γενέσθαι· καὶ αὐτὸς μὲν ἀνῃρέθη. μετὰ δὲ ταῦτα τῶν λῃστῶν εἷς ἐν τῇ πόλει θεασάμενος γεράνους ἔφη· Ἴδε, αἱ Ἰβύκου ἔκδικοι· ἀκούσαντος δέ τινος καὶ ἐπεξελθόντος τῷ εἰρημένῳ τό τε γεγονὸς ὡμολογήθη καὶ δίκας ἔδωκαν οἱ λῃσταί. Ὡς ἐκ τούτου καὶ παροιμίαν γενέσθαι· Αἱ Ἰβύκου γέρανοι.

1.

Στρ. Ἦρι μὲν αἵ τε Κυδώνιαι
μαλίδες ἀρδόμεναι ῥοᾶν
ἐκ ποταμῶν, ἵνα παρθένων
κᾶπος ἀκήρατος αἵ τ' οἰνανθίδες
αὐξόμεναι σκιεροῖσιν ὑφ' ἔρνεσιν
οἰναρέοις θαλέθοισιν, ἐμοὶ δ' Ἔρος
οὐδεμίαν κατάκοιτος ὥραν, ἅθ' ὑπὸ στεροπᾶς φλέγων
Θρηΐκιος Βορέας, ἀΐσσων παρὰ Κύπριδος, ἀζαλέαις μανίαισιν

Ibyci Rhegini carmina. Post nostram editionem de Ibyceis reliquiis bene meruerunt Hermannus in Jahnii Annall. 1833, 371 sqq., Welckerus Mus. Rhen. 1834, 211 sqq., Schoemannus in Programm. Gryphisvaldens. 1835., Bothius Annall. Heidelberg. 1837, IX. p. 884 sqq., Kleinius in Zimmerm. Diar. Philoll. 1837, III. p. 910 sqq.

Fr. 1. Athen. XIII, 601, B. Καὶ ὁ Ῥηγῖνος δὲ Ἴβυκος βοᾷ καὶ κέκραγεν· Ἦρι κτλ. Hoc dicit poeta: *Verno tempore omnia laetissime efflorescunt, mihi autem perpetua quaedam hiems atque procellae creantur per Amorem nullo tempore cessantem.* 1. Κυδώνιαι μ., v. Stesich. fr. 14. 3. παρθένους Nymphas dicere videtur, v. Sapph. fr. 4. 5. ὑφ' ἔρνεσιν libri: ὑπ' ἔρνεσιν Stephanus. Vide Crameri Ann. I, 173, 27. Ἡ ἐρ συλλαβὴ μὴ ἐπιφερομένου δασέος ἢ τοῦ γ ἢ διπλασιασμοῦ τοῦ ρ δασύνεται· οἷον ἔρνος, ἕρκος, ἕρπω, Ἑρμῆς. 7. κατάκητος ABP. ἅθ' ὑπὸ Jacobsius: libri τε ὑπὸ: Hermannus τις ὑπὸ. 8. Horat. Carmm. I, 25, 11 sqq. ἀζαλέαις, ut Apoll. Rh. IV, 679. ἀζαλέος ἥλιος. Bothius ἀζαλέας μανίαισιν.

ἐρεμνὸς, ἀταρβὴς, κραταιῶς παιδόθεν φυλάσσει
Ἀντιστρ. Ἀμετέρας φρένας.

2.

Ἔρος αὖτέ με κυανέοισιν ὑπὸ βλεφάροις τακείς ὔμμασι δερκόμενος
κηλήμασί παντοδαποῖς ἐς ἄπειρα δίκτυα Κύπριδος
βάλλησιν· ἦ μὰν τρομέω νιν ἐπερχόμενον,

---

9. ἐρεμνὸς, ut λαῖλαψ ἐρεμνὴ, quia nubes et tenebras obducit. ἀταρβὴς, κραταιῶς παιδόθεν φυλάσσει nunc dedi, v. Zimmermann. Diar. Philol. 1836, III. p. 894 sq. Libri ἀθάμβησε (ἐθάμβησε Steph. Urs.) κραταιῶς (Aldus et Casaub. κρατεοὺς) π. (παιδ' ὄθεν A) φ. (φυλάξου B) ἦ μετέρας φρένας. Schoemannus ἀστεμβὴς, κραταιῶς πεδόθεν (sic Naekius Choeril. 107. emendaverat) φρένας ἦμ. σαλάσσει (sic Muellerus, Welckerus φυράσσει, Naekius τινάσσει.). Hermannus ἀθαμβὴς | ἐγκρατέως παιδόθεν φυλάσσει ἁμ. φρ., ut παιδόθεν cum v. φυλάσσει conjungatur, quod Muellero Epist. XVII. ad analogiam v. βορέηθεν et similium fictum *a puerorum inde regione occursantem* (at παρὰ Κύπριδος ἄϊσσει) videbatur sonare. Cum nostra scriptura confer Hom. Il. *N*, 299. ubi Phobus, Martis filius, est ἅμα κρατερὸς καὶ ἀταρβής; tum παιδόθεν φυλάσσει est *inde a puero me custodit*, nunquam dimittit: quod ut ὑπερβολικῶς dictum sit, Cicero quoque se *a puero literis deditum* jactat. Ceterum Bothius ἐρεμνὸς, θάμβησι κραταιῶς, πεδόθεν δὲ φυλάσσει. Ad sententiarum conformationem compara Horat. Carmm. II, 9.

Fr. 2. Plat. Parmenid. 137, A. Καίτοι δοκῶ μοι τὰ τοῦ Ἰβυκείου ἵππου πεπονθέναι, ᾧ ἐκεῖνος ἀθλητῇ ὄντι καὶ πρεσβυκέρῳ ὑφ' ἅρματι μέλλοντι ἀγωνιεῖσθαι καὶ δι' ἐμπειρίαν τρέμοντι τὸ μέλλον ἑαυτὸν ἀπεικάζων, ἄκων ἔφη καὶ αὐτὸς οὕτω πρεσβύτης ὢν εἰς τὸν ἔρωτα ἀναγκάζεσθαι ἰέναι. Scholl. 320. Bekker. (40. Ruhnk.) Τὸ τοῦ μελοποιοῦ Ἰβύκου ῥητόν· Ἔρος κτλ. Compara Horat. Carmm. IV, 1. Archiloch. fr. 72., Alcmanis fr. 17., Sapphonis fr. 20. 1. δαὖτε Hermannus. 2. ἄπειρα, cfr. Aesch. Ag. 1355. Eur. Orest. 25. Hom. Odyss. Θ, 340. δεσμοὶ ἀπείρονες. Aesch. Prom. 1078. ἀπείρατον δίκτυον ἄτης. Κύπροθεν βάλλει libri: βάλλει Hermannus, Κύπροθε βάλλει Schoemannus, nos βάλλησιν, cfr. ad fr. 6. Bothius Κύπριδος transponit ante κηλήμασι. 3. Libri τρομέων ἴν vel ἴν': correxit Koenius Greg. Cor. 228.

ὥστε φερέζυγος ἵππος ἀεθλοφόρος ποτὶ γήραι
ἀέκων σὺν ὄχεσφι θροῖς ἐς ἅμιλλαν ἔβα.

3.

Αἰεί μ', ὦ φίλε θυμὲ, τανύπτερος ὡς ὅκα πορφυρίς.

4.

Εὐρύαλε, γλαυκέων Χαρίτων θάλος

* * *

καλλικόμων μελέδημα, σὲ μὲν Κύπρις
ἅ τ' ἀγανοβλέφαρος Πειθὼ ῥοδέοισιν ἐν ἄνθεσι θρέψαν.

5.

Μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος,
μᾶλά τε καὶ ῥόδα καὶ τέρεινα δάφνα.

---

5. Hom. Il. X, 22. σευάμενος, ὥσθ' ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν. Equum Ibycium mutuati sunt Ennius ap. Cic. Cat. M. 5., Horat. Epp. I, 1, 8. Tibull. I, 4, 31.

Fr. 3. Athen. IX, 388, E. Ἐν ἄλλοις δέ φησιν (Ἴβυκος, v. fr. 7.) Αἰεί κτλ. Intellige αἴρεις, quod ipsum voci αἰεὶ substituebat Valckenarius Diatr. Eurip. 248.

Fr. 4. Athen. XIII, 564, F. Ὁ τοῦ Κυθηρίου Φιλοξένου Κύκλωψ ἐρῶν τῆς Γαλατείας καὶ ἐπαινῶν αὐτῆς τὸ κάλλος, προμαντευόμενος τὴν τύφλωσιν, πάντα μᾶλλον αὐτῆς ἐπαινεῖ ἢ τῶν ὀφθαλμῶν μνημονεύει λέγων ὧδε· Ὦ καλλιπρόσωπε, χρυσεοβόστρυχε Γαλάτεια, χαριτόφωνε κάλλος ἐρώτων. Τυφλὸς ὁ ἔπαινος καὶ κατ' οὐδὲν ὅμοιος τῷ Ἰβυκείῳ ἐκείνῳ· Εὐρύαλε κτλ. 1. γλαυκέων libri: γλυκέων Jacobsius: γλυκεῶν nos dederamus. Vulgatae patrocinantur Welckerus, Hermannus, Lucas Quaestt. Lexilogg. I, 38., qui ad splendorem, non colorem oculorum referendum docet. Exspectes tamen γλαυκᾶν: vox ipsa propter consilium Athenaei non attrectanda videtur, quanquam et ἀγανοβλέφαρος refertur ad oculos. Kleinius γλαυκὸν conjectat. At versum excidisse et metrum docet et vox καλλικόμων: nec sufficit post μελέδημα inseruisse Ἐρώτων, νεανίδων, κουρᾶν, Νυμφᾶν. Cfr. Hermann. Epit. D. M. §. 302. Quanquam non male scriberetur καλλίτομον cum Bothio. 2. μελέδημα, v. Pind. Pyth. X, 59. Parthen. fr. 2. 3. Venus et Suada, ut Aesch. Suppl. 1021., v. Intpp. Pind. Pyth. IX, 40. Jacobs. Del. Epigr. IV, 29. Horat. Epp. I, 6, 38.

Fr. 5. Athen. XV, 681, A. Καὶ Ἴβυκος (μνημονεύει τοῦ

6.

Τᾶμος ἀΰπνους κλυτὸς ὄρθρος ἐγείρησιν ἀηδόνας.

7.

Τοῦ μὲν πετάλοισιν ἐπ' ἀκροτάτοισιν
ξανθαὶ ποικίλαι αἰολόδειροι
πανέλοπές θ' ἁλιπορφυρίδες τε καὶ
ἀλκύονες τανυσίπτεροι.

ἑλιχρύσου)· *Μύρτα τε καὶ ἴα κτλ.* Cfr. Alcmanis fr. 15. Sermo de *φυλλοβολίᾳ* videtur, cfr. Stesichori fr. 14.

Fr. 6. Herodianus *περὶ σχημ.* 60, 24. Dindorf. *Σχῆμα Ἰβύκειον καὶ λέξεως καὶ συντάξεώς ἐστιν, γίνεται δὲ ἐν τοῖς ὑποτακτικοῖς τρίτοις προσώποις τῶν ῥημάτων κατὰ πρόθεσιν τῆς σι συλλαβῆς. — καλεῖται δὲ Ἰβύκειον, οὐχ ὅτι Ἴβυκος πρῶτος ἐχρήσατο· δέδεικται γὰρ καὶ παρ' Ὁμήρῳ πρότερον· ἀλλ' ἐπεὶ πολὺ καὶ κατακορὲς παρ' αὐτῷ. Καὶ γὰρ* (fr. 8.) — *καὶ δι' ἑτέρων· Τᾶμος κτλ., ἀντὶ τοῦ ἐγείρῃ.* Cfr. fr. 2, 3. Buttmann. Gr. Max. I, 501. Prolegg. nostra in Ibyc. 66 sqq. *ἄϋπνος* libri, quod correxi: Soph. El. 17. *ἤδη λαμπρὸν ἡλίου σέλας ἐῷα κινεῖ φθέγματ' ὀρνίθων σαφῆ.* Est igitur: *excitat ut somnum mittant.* Vatero in Eurip. Rhes. 211. *longi somni non indigentes* videtur dixisse. *κλυτὸς ὄρθρος* videtur *clarus* dici: aliter veteres. Plutarch. Symp. VIII, 3. *ἐν ᾧ κλύειν καὶ ἤδη φθέγγεσθαι συμβέβηκεν;* Et. M. 449, 53. *τὸν τοῦ κλύειν αἴτιον;* Scholl. Hom. Odyss. *I*, 364. *ὁ καλούμενος.* Ceterum ex Rheginorum lingua Ibycus et Stesichorus dixisse feruntur *ἄτερπνος* pro eo q. e. *ἄγρυπνος*, Et. Gud. 98, 31., quod fortasse olim hic lectum.

Fr. 7. Athen. IX, 388, E. *Ἴβυκός τινας λαθιπόρφυρας* (corrigunt *λαθιπορφυρίδας:* nos *ἁλιπορφ.*) *ὀνομάζει διὰ τούτων· Τοῦ μέν κτλ.* 2. *ξανθαὶ* Hermannus: vulgo *ξανθίαι:* B *ξανθίαι.* 3. Libri *ποικίλαι πανέλοπες αἰολόδειροι αἰθοπορφυρίδες* (scripsimus *ἁλιπορφ.*, alii *λαθιπορφυρίδες*) *καὶ ἀλκ. τανυσ.* Correxit Hermannus certe probabiliter. Nos olim paullo aliter. Cfr. Alcaei fr. 64. Welckero propter *ξανθὰ πέταλα* videbatur opus ab aurifice pulchre exornatum describi, vel ut Jupiter Laomedonti dedisse fertur *ἄμπελον χρυσείην, φύλλοισιν ἀγαυοῖσιν* (?) *κομόωσαν Γανυμήδεος ἀντί;* Scholl. Vat. Eurip. Troad. 822.

8.

Γλαυκώπιδα Κασσάνδραν, ἐρασιπλόκαμον κούραν Πριάμοιο φᾶμις ἔχησι βροτῶν.

9.

Ὀνομακλυτὸν Ὄρφην.

10.

Παρελίξατο Καδμίδι κούρᾳ.

11.

Τούς τε λευκίππους κόρους
τέκνα Μολιόνας κτάναν,

Fr. 8. Herodian. περὶ σχημ. 60, 33. (cfr. fr. 6.) *Καὶ γὰρ Γλαυκώπιδα κτλ.* Libri *κόραν, κόρην.*

Ἑρμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

104.

Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

105.

Καὶ σὲ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

---

tes exhibitae erant. 1. 2. ἥ τε et ἐρχομένη codex: correxit Jacobsius.

Epigr. 101. Anth. Pal. VI, 136.

Epigr. 102. Anth. Pal. XI, 137.

Epigr. 103. Anth. Pal. VI, 143.

Epigr. 104. Anth. Pal. VI, 346. 1. Codex Τελειαι ἡμερόεντα: correxit Reiskius. 3. Εὐωνυμία erat δῆμος τῆς Ἐρεχθηΐδος φυλῆς, v. Harpocr.

Epigr. 105. Anth. Pal. VII, 263.

XIII. Telesillae Argivae carmen.

Olymp. LXVII, 3.

Suidas: *Τελέσιλλα ποιήτρια. ἐπὶ στήλης μὲν τὰ βιβλία ἀπέῤῥιπτο, κράνος δὲ τῇ κεφαλῇ περιέθηκε* (Paus. II, 20, 7. cll. Mueller. Dorr. I, 173.)· *καὶ γὰρ ὅτε Λακεδαιμόνιοι τοὺς ἐν τῷ ἱερῷ τοῦ Ἄργου καταφυγόντας διέφθειρον καὶ πρὸς τὴν πόλιν ᾖσαν ὡς αἱρήσοντες, τότε Τελέσιλλα τὰς ἐν ἡλικίᾳ γυναῖκας ὁπλίσασα ὑπήντησεν ᾗ προσῄεσαν· ὅπερ ἰδόντες οἱ Λακεδαιμόνιοι εἰς τοὐπίσω ὑπέστρεψαν, αἰσχρὸν νομίσαντες γυναιξὶ πολεμεῖν, ἃς καὶ τὸ νικᾶν ἄδοξον καὶ ἡττᾶσθαι μέγα ὄνειδος.*

Ἄ δ' Ἄρτεμις, ὦ κόραι,
φεύγοισα τὸν Ἀλφεόν.

XIV. Lasi Hermionensis Hymnus.

Olymp. LXIX, 2.

Suidas: *Λᾶσος, Χαρβίνου, Ἑρμιονεύς, πόλεως τῆς Ἀχαΐας, γεγονὼς κατὰ τὴν νή Ὀλυμπιάδα, ὅτε Δαρεῖος ὁ Ὑστάσπου. τινὲς δὲ τοῦτον συναριθμοῦσι τοῖς ἑπτὰ Σοφοῖς ἀντὶ Περιάνδρου. πρῶτος δὲ οὗτος περὶ μουσικῆς λόγον ἔγραψε καὶ διθύραμβον εἰς ἀγῶνα εἰσήγαγε καὶ τοὺς ἐριστικοὺς εἰσηγήσατο λόγους.* Cfr. Clinton. Fastt. Hell. II, a. 503.

Telesillae Argivae carmen. Hephaestio 62. *Ἔστιν ἐπίσημα ἐν τῷ ἰωνικῷ, ἐφθημιμερῆ μέν, τὰ τοιαῦτα οἷς ἡ Τελέσιλλα ἐχρήσατο· Ἄ δ' Ἄρτεμις κτλ.* Idem 26. *Ἐπὶ ἀναπαιστικοῦ· Ἄ δ' Ἄρτεμις, ὦ κόραι,* ubi cod. B. ed. Fl. *κόρα.* Alpheus dicebatur in amores pellicere studuisse Dianam, quae Olympiae Alpheae nomine colebatur, v. Paus. VI, 22, 5. Telesilla autem refugisse castissimam dearum faciebat, cfr. Muelleri Prolegg. Mythol. 135 sqq.

Lasi Hermionensis Hymnus. Athenaeus XIV, 624, E. *Ἡ ὑποδώριος καλουμένη ἁρμονία ἐστι, φησὶν ὁ Ἡρακλείδης,*

Ὕμνος εἰς τὴν Ἑρμιόνι Δήμητρα.

Δάματρα μέλπω Κόραν τε Κλυμένοιο ἄλοχον Μέλιβοιαν, ὕμνων ἀναγῶν Αἰολίδ' ἅμα βαρύβρομον ἁρμονίαν.

XV. Cydiae Hermionensis Carmina.

1.

Μὴ κατέναντα λέοντος
νεβρὸς ἐλθὼν μοῖραν αἱρῆται κρεῶν.

2.

Τηλέπορόν τι βόαμα λίρας.

ἣν ἐκάλουν Αἰολίδα· ὡς καὶ Λᾶσος ὁ Ἑρμιονεὺς ἐν τῷ εἰς τὴν Ἑρμιόνι Δήμητρα ὕμνῳ λέγων οὕτως· *Δάματρα* κτλ. ταῦτα δ' ᾖδουσι πάντες ὑποδώρια τὰ μέλη. ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον, εἰκότως Αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λᾶσος. Rersus X, 455, C. Τοῦτα σημειώσαιτ' ἄν τις πρὸς τοὺς νοθεύοντας *Λάσου τοῦ Ἑρμιονέως* τὴν ἄσιγμον ᾠδήν, ἥτις ἐπιγράφεται *Κένταυροι*. Καὶ ὁ εἰς τὴν *Δήμητρα* δὲ τὴν ἐν Ἑρμιόνῃ ποιηθεὶς τῷ *Λάσῳ* ὕμνος ἄσιγμός ἐστιν, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τρίτῳ περὶ μουσικῆς· οὗ ἐστιν ἀρχή· *Δάματρα — ἄλοχον*. 2. ὕμνων Jacobsius: libri ὕμνον. ἀνάγων Causaubonus: ἀναγνῶν PV., qui et ἁμαβαρύβρομον. De his carminibus ἀσίγμοις v. Boeckhium ad Pindari Fragmm. 582.

Cydiae Hermionensis Carmina. Cydiae memoriam instauravit Buttmannus ad Platonis Charmid. 155, D. Ἐφλεγόμην καὶ οὐκέτ' ἐν ἐμαυτῷ ἦν καὶ ἐνόμισα σοφώτατον εἶναι τὸν Κυδίαν τὰ ἐρωτικά, ὅς εἶπεν ἐπὶ καλοῦ λέγων παιδός, ἄλλῳ ὑποτιθέμενος, εὐλαβεῖσθαι μὴ κατέναντι λέοντος νεβρὸν ἐλθόντα μοῖραν αἱρεῖσθαι κρεῶν. Αὐτὸς γάρ μοι ἐδόκουν ὑπὸ τοῦ τοσούτου θρέμματος ἁλωκέναι. *Cavendum, ne hinnulus in leonis conspectum veniens in praedam cedat*, dicit poeta. Cfr. Heindorfium. Horat. Carmm. III, 20. Proverbium *νεβρὸς τὸν λέοντα* comparat Hemsterhusius Lucian. Diall. Mortt. VIII. 1. *κατέναντι* vulgo: plerique libri *κατέναντα*, *κατ' ἐναντία*. 2. *μοῖραν* dictum videtur, ut *χάριν*, *ποινήν*, v. Sim. Amorg. 7, 104.

Fr. 2. Aristoph. Nubb. 967. Εἶτ' οὖ προμαθεῖν ᾖσμ' ἐόλ-

XVI. Simonidis Cei Carmina.

Olymp. LVI—LXXVIII, 1.

Scholia Aristoph. Vespp. 1402. et Suidas: *Σιμωνίδης, Λεωπρεπους, Ἰουλίητης τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως· λυρικὸς, μετὰ Στησίχορον τοῖς χρόνοις· ὃς ἐπεκλήθη Μελικέρτης διὰ τὸ ἡδύ· καὶ τὴν μνημονικὴν δὲ τέχνην εὗρεν οὗτος· προεξεῦρε δὲ καὶ τὰ μακρὰ τῶν στοιχείων καὶ διπλᾶ· καὶ τῇ λύρᾳ τὸν τρίτον φθόγγον· γέγονε δ' ἐπὶ τῆς ἕκτης καὶ πεντηκοστῆς Ὀλυμπιάδος· οἱ δὲ δευτέρας καὶ ἑξηκοστῆς γεγράφασιν. καὶ παρέτεινε μέχρι τῆς ἑβδομηκοστῆς ὀγδόης βιοὺς ἔτη πθ'. Καὶ γέγραπται αὐτῷ Λωρίδι διαλέκτῳ ἡ Καμβύσου καὶ Λαρίου βασιλεία, καὶ Ξέρξου ναυμαχία· καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία δι' ἐλεγείας· ἡ δ' ἐν Σαλαμῖνι μελικῶς· Θρῆνοι· Παιᾶνες· Ἐγκώμια· Ἐπιγράμματα· τραγῳδία καὶ ἄλλα. Τὸν δὲ Λᾶσον καὶ Σιμωνίδην ὡς ἀντιτεχνοῦντας ἀλλήλοις ὁ ποιητὴς* (Aristophanes l. c.) *εἰσάγει.*

δασκεν, τῶ μηρῶ μὴ ξυνέχοντας, Ἡ Παλλάδα περσέπολιν δεινάν, ἢ, Τηλέπορόν τι βόαμα. Scholia: *τὸ τηλέπορόν τι β. Κυδίου* (vulgo *Κυδίδου:* correxit Bernhardy ap. Buttm. l. c.) *τοῦ Ἑρμιονέως κιθαρῳδοῦ ἀπό τινος τῶν ᾀσμάτων.* Patet Athenis celebre id carmen fuisse dum prisci mores vigerent. *Τηλέπορον* explicant Scholl. Aristid. 204. Frommel. *ἢ τὸ πόρρωθεν ποριζόμενον ἢ τὸ πόρρωθεν ἀκουόμενον.*

Simonidis Cei Carmina. Post nostram carminum Simonideorum editionem, quam in Exercitatt. Critt. et locupletavimus et hic illic correximus, dulcissimo poetae et quem in sinu et oculis gerimus, profuerunt G. Hermannus, qui quum publice diversis locis Simonidem attigit, tum in literis ad me datis plura praeclare correxit; L. Doederleinius, qui humanus et intelligens operis nostri censor exstitit in Diar. Literar. Monacens. 1837, 26. p. 218 sqq.; denique Th. Bergkius in Zimmermanni Diar. Philoll. 1839, 1. p. 11 sqq. Quae desunt in editione Brunsvicensi fragmenta, stellula notavimus. Ceterum multa, quae ibi exposuimus, nec potuimus nunc recoquere et noluimus. Verum si tempus plura nos docuisse dixerimus, quam doctorum hominum notationes, non in arrogantiae detorquebit crimen, quisquis studiorum horum rationem probe noverit. Hinc patet, quodammodo hunc delectum supplementi loco esse editioni majori. Nec desunt palinodiae.

Epigramma Incerti.

Ἐξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἦραο νίκας
καὶ τρίποδας· θνήσκεις δ' ἐν Σικελῷ πεδίῳ·
Κείῳ δὲ μνήμην λείπεις, Ἕλλησι δ' ἔπαινον
εὐξυνέτου ψυχῆς σῆς ἐπιγεινομένοις.

I. Ἐγκώμια.

1. Εἰς τοὺς ἐν Θερμοπύλαις θανόντας.

1.

Τῶν ἐν Θερμοπύλαις θανόντων
εὐκλεὴς μὲν ἁ τύχα, καλὸς δ' ὁ πότμος,
βωμὸς δ' ὁ τάφος, πρὸ γόων δὲ μνᾶστις, ὁ δ' οἶκτος
ἔπαινος.
Ἐντάφιον δὲ τοιοῦτον οὔτ' εὐρὼς
οὔθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος, ἀνδρῶν ἀγαθῶν.
Ὅ δὲ σακὸς οἰκέταν εὐδοξίαν
Ἑλλάδος εἵλετο· μαρτυρεῖ δὲ Λεωνίδας

---

1. Encomiorum Fr. 1. Diodorus Sic. XI, 11. Οὐχ οἱ τῶν ἱστοριῶν συγγραφεῖς μόνοι, ἀλλὰ καὶ πολλοὶ τῶν ποιητῶν καθύμνησαν αὐτῶν τὰς ἀνδραγαθίας· ὧν γέγονε καὶ Σιμωνίδης ὁ μελοποιὸς ἄξιον τῆς ἀρετῆς αὐτῶν ποιήσας ἐγκώμιον, ἐν ᾧ λέγει· Τῶν κτλ. 3. Libri προγόνων: correxit Ilgenius. Tacita *recordatio* praeclari facinoris est *loco querelarum*. οἶτος libri: correxit Jacobsius. *Commiseratio praedicatio est.* 4. Cfr. Pind. Pyth. VI, 10. 5. ἀνδρῶν ἀγαθῶν ad τοιοῦτον etiam nunc refero: caussam reddit universi enunciati, *quippe fortium virorum.* Non dissimilis ad structuram locus Tyrtaei Eleg. 7, 19 sq. Bergkius l. c. 19. sic scribit: Ἐντ. δὲ τοιοῦτον εὐρὼς, | Οὔθ' ὁ π. ἀμ. χρ. | Ἀνδρῶν δ' ἀγ. ὅδε σηκὸς οἰκ. εὐδ. | Ε. εἵλετο· μ. δὲ | Λ. Σπάρτας β., ἀρ. μ. λ. | κ. ἀ. τε κλεῖος. Ex his unum κλεῖος mihi commendatur. Ante εὐρὼς Bergkius οὔτε intelligi statuit. 6. Vulgo οἰκετᾶν: Thierschius οἰκέτιν. Aeschylum Agam. 647. τύχη δὲ σωτὴρ ναῶν θέλουσ' ἐφέζετο aliaque comparat Bergkius: cfr. Lobeck. Parall. 270 sq. Εὐδοξία tanquam *inquilinus* obversatur menti poetae. Cfr. Periclem Thuc. II, 43. 7. Libri εἵλατο: emendavit Hermannus. Vide Lobeck. Phryn. 183. Buttm. Gr. Max. I, 417.

ὁ Σπάρτας βασιλεὺς, ἀρετᾶς μέγαν λελοιπὼς
κόσμον ἀέναόν τε κλέος.

2. Ἄδηλον.

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν Κλεόβουλον,
ἀενάοις ποταμοῖς
ἄνθεσί τ' εἰαρινοῖς
ἀελίου τε φλογὶ χρυσέας τε σελάνας
καὶ θαλασσαίαισι δίναις ἀντιθέντα μένος στάλας;
ἅπαντα γάρ ἐστι θεῶν ἥσσω· λίθον δὲ
καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ φωτὸς ἅδε βουλά.

II. Ἐπίνικοι ᾠδαί.

3. Ἀδήλῳ τεθρίππῳ.

Πῖνε, πῖν' ἐν συμφοραῖς.

Fr. 2. Diog. Laert. I, 6, 2. Τὸ ἐπίγραμμά τινες τὸ ἐπὶ Μίδᾳ τοῦτόν (Cleobulum) φασι ποιῆσαι· Χαλκέη παρθένος εἰμὶ, Μίδεω δ' ἐπὶ σήματι κεῖμαι· | Ἔστ' ἂν ὕδωρ τε ῥέῃ καὶ δένδρεα μακρὰ τεθήλῃ, | Ἠέλιός τ' ἀνιὼν λάμπῃ λαμπρά τε σελήνη, | Καὶ ποταμοί γε ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα, | Αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ | Ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται. Φέρουσι δὲ μαρτύριον Σιμωνίδου ἆσμα, ὅπου φησί· Τίς κτλ. Cfr. I, 4 sq. Prolegg. XXXVI. 5. Stephani codd. ἀντιθέντα μένος τάλας: hinc ille correxit. Sed fortasse ἀντιτιθέντα rectius scribetur.

II. Ἐπίνικοι ᾠδαί. Secundum varia genera certaminum Grammatici dispescuerant epinicia Simonidea. Callimachum auctorem fuisse docui Exx. Critt. IV, 20 sq.

Fr. 3. Scholl. Ar. Eqq. 404. Ἐπᾴσαιμί σοι τὸ Σιμωνίδου μέλος· Πῖνε, πῖν' ἐν ταῖς συμφοραῖς. Ἐκ τῶν Σιμωνίδου δὲ τοῦτο· Τεθρίππων. τὸ δὲ συμφοραῖς ἐπ' ἐσθλοῖς. τῶν μέσων γὰρ ἡ συμφορά. Si Simonides quoque συμφοραῖς intellexit ἐσθλοῖς (h. e. victoriam), non recte adjeci in Ed. Maj. versiculum ab Ath. X, 447, A. servatum: οἶνον ἀμύντορα δυσφροσυνάων. Probavi Doederleinio: vapulo Bergkio. Fortasse ἐπὶ poeta dederat.

4. *Σκόπᾳ τῷ Κρέοντος Θεσσάλῳ τεθριππῳ.*

Στροφή.

Ἄνδρ' ἀγαθὸν μὲν ἀλαθέως γενέσθαι χαλεπὸν
χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἄνευ ψόγου τε-
τιγμένον.

(Desunt quinque versus.)

Ἀντιστροφή.

Οὐδέ μοι ἐμμελέως τὸ Πιττάκειον νέμεται,
καίτοι σοφοῦ παρὰ φωτὸς εἰρημένον· χαλεπὸν φάτ' ἐσλὸν ἔμμεναι.
Θεὸς ἂν μόνος τοῦτ' ἔχοι γέρας· ἄνδρα δ' οὐκ ἔστι μὴ οὐ κακὸν ἔμμεναι,
ὅν ἂν ἀμάχανος συμφορὰ καθέλῃ.
Πράξαις γὰρ εὖ πᾶς ἀνὴρ ἀγαθός,
κακὸς δ', εἰ κακῶς, καὶ
τοὐπιπλεῖστον ἄριστοι, τούς κε θεοὶ φιλῶσιν.

Ἐπῳδός.

Ἔμοιγ' ἐξαρκεῖ
ὅς ἂν μὴ κακὸς ᾖ
μηδ' ἄγαν ἀπάλαμνος εἰδὼς τ' ὀνασίπολιν δίκαν, ὑγιὴς ἀνήρ.

Fr. 4. Plato Protag. 339, A. sqq. *Καὶ δὴ καὶ νῦν ἔσται τὸ ἐρώτημα περὶ τοῦ αὐτοῦ μέν, περὶ οὗπερ ἐγώ τε καὶ σὺ νῦν διαλεγόμεθα, περὶ ἀρετῆς, μετενηνεγμένον δὲ εἰς ποίησιν· τοσοῦτον μόνον διοίσει. Λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν, τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ, ὅτι Ἀνδρ' ἀγ. κτλ.* Descripsit carmen, quod Aeolios modos habet, Boeckhius Metr. Pind. 337. Deliquerat Scopas nescio quid: poeta, victoriam quadrigis partam celebraturus, humanae imbecillitatis obtentu culpam eleva. Cfr. de Scopa, impotentis animi tyranno, Buttmann. Mythol. II, 268 sqq. Prolegg. nostra XV. XXXVI. Impugnat autem dictum Pittaci, *χαλεπὸν ἐσθλὸν ἔμμεναι:* ipse *γενέσθαι* pro arduo habet: illud in solum deum cadere. 2. Hor. Sermm. II, 7, 86. 3. De dicto Pittacio v. Zenob. VI, 38. Scholl. Plat. 369. 394. Bekker. *Neque recte et convenienter quamvis a viro sapiente dictum mihi judicatur Pittacium illud.* 8. Ad *εἰ κακῶς* ex *πράξαις* repete *ἔπραξε.* 12. Libri *εἰδώς γε ὑνήσει πόλιν:* correxit Hermannus. Cfr. Soph. Antig. 366 sqq.

Οὔ μιν ἐγὼ μωμάσομαι·
οὐ γὰρ ἐγὼ φιλόμωμος·
τῶν γὰρ ἀλιθίων ἀπείρων γενέθλα.
Πάντα τοι καλὰ, τοῖσί τ' αἰσχρὰ μὴ μέμικται.

Στροφὴ β'.

Τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι δυνατὸν
διζήμενος, κενεὰν ἐς ἄπρακτον ἐλπίδα μοῖραν αἰῶνος βαλέω,
πανάμωμον ἄνθρωπον, εὐρυέδους ὅσοι καρπὸν αἰνύμεθα
χθονός·
Ἔπειτ' ὔμμιν εὑρὼν ἀπαγγελέω.
Πάντας δ' ἐπαίνημι καὶ φιλέω,
ἑκὼν ὅστις ἔρδῃ
μηδὲν αἰσχρὸν, ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται.

3. Ἀδήλῳ ἅρματι.

Ἱπποτροφία [γὰρ] οὐ Ζακύνθῳ,
ἀλλ' ἀρούραισι πυροφόροις ὀπαδεῖ.

---

13. Libri οὐ μήν: correxit Schleiermacherus. 14. Libri οὐ γάρ εἰμι φιλόμωμος: εἰμὶ Hermannus induxit. Nobis ἐγὼ requiri videbatur. 15. Sic libri: vulgo ex edd. vett. ἄπειρα γένεθλα. *Infinita propago stultorum.* Quidam ἀπείρων γένεθλα scribentes ἀπείρων per enallagen ad ἠλιθίων respicere arbitrantur. 17. *Iccirco nunquam ego quod fieri nequit quaerens, in vanam irritamque spem aevi partem projiciam,* (quaerens) *virum* sqq. 19. Il Z, 142. βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσιν. Phanocl. Eleg. fr. 2. Valckenar. Eur. Hippol. 131. Horatius: *Quicunque terrae munere vescimur.* 20. ὔμμιν spectat ad Scopadas, quos post v. 2. appellaverat. 23. Eurip. Hel. 532. Σοφῶν ἔπος, δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον, ubi plura Hermannus: add. Zenob. I, 85. Ceterum Bergkius 23 sq. quaedam aliter describit: sic primum quemque versum stropharum sic metitur: Ἄνδρ' ἀγ. μὲν ἀλ. γενέσθαι. Et: Οὐδέ μοι ἐμμ. τὸ Πιττάκειον. Et: Τοὔνεκεν οὔποτ' ἐγὼ τὸ μὴ γενέσθαι, ut χαλεπόν, νέμεται, δυνατόν non sine gravitate ab initio ponantur. Tum quartum quemque versum sic digerit, ut v. 6. legat omissa ἂν particula: ὃν ἀμάχανος σ. καθέλῃ. Versu 20. ἐπὶ δ' ὔμμιν εὑρὼν ἀπ. conjicit. Denique v. 7. sic incidit: Πρ. γὰρ εὖ π. ἀ. ἀ., κακὸς δ' | εἰ κακῶς· καὶ κτλ. et v. 21. pariter: Πάντας δ' ἐπ. κ. φ., ἑκὼν | Ὅστις κτλ.

Fr. 5. Plutarch. Morall. II, 49, C. Ὁ Σ. τὴν ἱπποτροφίαν φησὶν οὐ Ζακύνθῳ ὀπαδεῖν, ἀλλ' ἀρούραισι πυροφόροις.

6. Ἀθήλῳ ἅρματι.

Μὴ βάλῃ φοίνικας ἐκ χειρῶν ἱμάντας.

* 7. Ἀθήλῳ ἅρματι.

Κονία δὲ παρὰ τροχὸν μεταμώνιος ἀέρθη.

8. Λεώφρονι Ῥηγίνῳ ἀπήνῃ.

Χαῖρε, ἀελλοπόδων θύγατρες ἵππων.

9. Ἀθήλῳ πεντάθλῳ.

Τοῦ καὶ ἀπειρέσιοι
πωτῶντ' ὄρνιθες ὑπὲρ κεφαλᾶς, ἀνὰ δ' ἰχθύες ὀρθοὶ
κυανέου ἐξ ὕδατος ἅλλοντο καλᾷ σὺν ἀοιδᾷ·

Hinc concinnavi. Victoris equestris patriam laudaturus Zacynthum, insulam saxosam, opponit agris fertilibus et equis alendis idoneis. Cfr. Odyss. Δ, 607.

Fr. 6. Plut. Morall. II, 445, C. *Μὴ κτλ. κατὰ Σιμωνίδην.*

Fr. 7. Scholl. Ven. Arist. Pac. 117. *Τὸ μεταμώνιος οἱ μὲν ἐξεδέξαντο ματαίως καὶ πρὸς οὐδὲν χρήσιμον· οἱ δέ φασιν ἰδίως μεταμώνιον τὸν ἑτέρωθεν μετέωρον σημαίνειν, πιστούμενοι τοῦτο παρὰ Σιμωνίδου οὕτω εἰπόντος· Κονία κτλ.* Vide Exx. Critt. X, 61. De v. *μεταμώνιος* primaria significatione adi Nitzsch. in Hom. Odyss. B, 99.

Fr. 8. Aristot. Rhet. III, 2, 45. *Ὁ Σ. ὅτε μὲν ἐδίδου μισθὸν ὀλίγον αὐτῷ ὁ νικήσας τοῖς ὀρεῦσιν, οὐκ ἤθελε ποιεῖν ὡς δυσχεραίνων εἰς ἡμιόνους ποιεῖν. Ἐπεὶ δ' ἱκανὸν ἔδωκεν, ἐποίησε· Χαῖρε κτλ. Καίτοι καὶ τῶν ὄνων θυγατέρες ἦσαν.* Cfr. Heraclid. Pont. Polit. 25. Ath. I, 3, E., unde patet, carmen scriptum fuisse in victoriam mularem Leophronis, filii Anaxilae, Rheginorum tyranni.

Fr. 9. Haec conglutinavi ex Tzetz. Chill. I, 310., qui tres priores versus afferens de Orpheo sermonem esse testatur; v. 4. 5. 6. sunt ex Plut. Morall. II, 722, C.; novissima ex Aristot. Hist. Animm. V, 9. *Ἡ ἀλκυὼν τίκτει περὶ τροπὰς χειμερινάς· διὸ καὶ καλοῦνται, ὅταν εὐδιειναὶ γένωνται αἱ τροπαί, Ἀλκυονίδες ἡμέραι, ἑπτὰ μὲν πρὸ τρόπων, ἑπτὰ δὲ μετὰ τροπάς, καθὰ καὶ Σιμωνίδης ἐποιήσεν· Ὡς ὁπόταν κτλ.* Denique Bekker. Ann. 377, 27. *Σιμωνίδης ἐν Πενταάθλοις ἑνδεκά* (lege *τεσσαρακαίδεκά*) *φησιν τὰς ἀλκυονίδας.* 3. In Ed. Maj. *κυανέας ἐξ ἁλὸς* de conjectura dederam. Praestat vul-

οὐδὲ γὰρ ἐννοσίφυλλος ἀήτας
τότ' ὦρτ' ἀνέμων, ἅτις κατέκωλυε χιονωμένην μελιαδέα γᾶρυν
ἀραρεῖν ἀκοαῖσι βροτῶν,
ὡς ὁπόταν χειμέριον κατὰ χιόνα πινύσκῃ
Ζεὺς ἅματα τεσσαρακαίδεκα, λαοὶ δέ μιν ἱρὰν καλέοισιν ἐπιχθόνιοι
ἰρὰν παιδοτρόφον ποικίλας ἀλκυόνος.

10. Ἀδήλῳ παλαιστῇ.

Ἐπέξαθ' ὁ Κριὸς οὐκ ἀσικέως δενδρεῶν ἐξελθὼν ἀγλαὸν
Διὸς τέμενος.

11. Γλαύκῳ Καρυστίῳ πύκτῃ.

Οὐδὲ Πολυδεύκεος βίαν
ἐναντίας χεῖρας ἀντείναιτ' ἂν αὐτῷ,
οὐδὲ διθαρείῃ Δίκαιναι τέκος.

---

gatae alacritas. Cfr. Ap. Rh. I, 569 sqq. 5. Libri σκιδναμένα. 7. Jupiter, quasi ad sanam rationem revocat, σωφρονίζει, dies hibernos. Ruhnkenius τιτύσκῃ conjecerat. 8. 9. Vulgo ἥματα, τε μίν, καλέουσιν, ἱεράν.

Fr. 10. Strepsiades Aristi Nubb. 1355. Πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ' ἐγὼ κέλευσα Λινδὶ Σιμωνίδου μέλος τὸν Κριὸν ὡς ἐπέχθη. Schell. Τοῦτο τὸ μέλος Σιμωνίδου ἐξ ἐπινίκου. ἦν δὲ ὁ Κριὸς οὗτος παλαιστὴς Αἰγινήτης. (Herod. VI, 73. 85.). Τῇ πρὸς τὸ ζῶον κοινωνίᾳ τῆς λέξεως συνέπλεξε τὰς λέξεις ὁ ποιητὴς, λέγων· Ἐπέξαθ' ὁ Κρ. οὐκ ἀσικέως ἐλθὼν εἰς δένδρον ἀγλαὸν Διὸς τέμενος. Δενδρῶν' dederam in Ed. Maj., sed rectius δενδρεῶν Bothius et Hermannus. Dobraeus ἐς εὐδένδρον proposuit. Olympiane fuerit victoria an Nemeaea non patet. Illud patet ex Aristophane, carmen scriptum fuisse in victoriam pugilis, fortasse Atheniensis, qui Crium, nobilem Aeginetam, male mulcasset. Hinc apparet, est, cur Strepsiades hoc potissimum carmen expetierit. Medium igitur prope accedit ad id quod posuit Aristophanes ἐπέχθη, cfr. Ed. Maj. Addend. 239 sq.

Fr. 11. Lucian. pro Imagg. XIX. Πῶς ἐπῄνεσε ποιητὴς δόκιμος τὸν Γλαῦκον; Οὐδὲ Πολυδ. βίαν φήσας ἀντείνασθαι ἂν αὐτῷ ἐναντίας τὰς χεῖρας κτλ. Et post: Εὐδοκίμουν ἄμφω καὶ ἐτιμῶντο ὑπὸ τῶν Ἑλλήνων, ὁ μὲν ἐπὶ τῇ ἀλκῇ ὁ Γλαῦκος, ὁ δὲ ποιητὴς ἐπί τε

12. Ἀδήλῳ πύκτῃ.

Ὦνθρωπε, κεῖσαι ζῶν ἔτι μᾶλλον τῶν ὑπὸ γᾶς ἐκείνων.

13. Ἀδήλῳ πενταθλῳ.

Ὃς δουρὶ πάντας
νίκασε νέους δυνάεντα βαλὼν Ἀνάυρον ὑπὲρ πολυβότρυος
ἐξ Ἰωλκοῦ·
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς.

14. Ἀδήλῳ Νεμεονίκῃ.

Ἰοστεφάνου [στόματος] γλυκεῖαν ἐξάκρυσαν
ψυχὰν ἀποπνέοντα γαλαθηνὸν τέκος.

15. Ἄδηλον.

Δίδωτι δαΐτέ σ' Ἑρμᾶς ἐναγώνιος,
Μαιάδος οὐρείας ἑλικοβλεφάροιο παῖς· ἔτικτε δ' Ἄτλας

τοῖς ἄλλοις καὶ ἐπ' αὐτῷ τούτῳ μάλιστα τῷ ᾄσματι. Ex Quintil. Instt. Or. XI, 2, 11. Simonidi vindicarunt Meinekius Euphor. 82. et Welckerus. Cfr. Prolegg. XIV. De Glauco v. Paus. VI, 10, 1. Demosth. de Cor. 331. Aliter constituit Bergkius 24. Οὐδὲ Π. β. | χεῖρας ἀντείναιτ' ἂν ἐναντίον αὐτῷ κτλ.

Fr. 12. Aristides II, 380. (513. Dindorf.) Κἀτά σε ἀνήρ τις Σιμωνίδεος ἀμείψεται· Ὦνθρωπε κτλ.

Fr. 13. Ath. IV, 172, E. Σιμωνίδης ὁ ποιητὴς περὶ τοῦ Μελεάγρου τὸν κύγον ποιούμενος φησίν· Ὃς κτλ. Cfr. Stesichori fr. 3. Homerum dixit poëtam Thebaidis cyclicae, ut videtur.

Fr. 14. Ath. IX, 396, E. Καὶ ἐν ἄλλοις (Simonides) ἐπ' Ἀρχεμόρῳ εἰρηκεν· Ἰοστέφ. γλυκ. κτλ. Addidi στόματος. De Archemoro infante v. Paus. II, 15, 2.

Fr. 15. Ath. XI, 490, E. Σιμωνίδης τὰς Πλειάδας Πελειάδας εἴρηκεν ἐν τούτοις· Δίδωτι δεῦτέ σ' Ἑρμᾶς ἐν., Μαίας εὐπλοκάμοιο παῖς, ἔτικτε δ' Ἄτλας κτλ. 1. Conjeci ἴδοιτο δαῦτέ σ' E., utinam Mercurius rursus propitius te adspiciat. Potest servari librorum scriptura, si posta cantu in honorem victorum per tempus intermisso rursus lyram alloquebatur. Formam δίδωτι Pindari ἐφίητι vindicare videtur, v. Matth. Gr. I, 401. 2. Versum instauravi ex Scholl. Pind. Nem. II, 16. Σ. μίαν τῶν Πλειάδων Μαίαν ὀρείαν προσηγόρευσεν εἰπών· Μαιάδος οὐρείας ἑλικοβλεφάρου. Κατὰ λόγον·

ἑπτὰ ἰοπλοκάμων φιλᾶν θυγατρῶν τᾶν᾽ ἔξοχον εἶδος, αἳ καλέονται Πελειάδες οὐράνιαι.

---

16. *Ἀστύλῳ Κροτωνιάτῃ σταδιοδρόμῳ.*

Τίς δὴ τῶν νῦν τοσάσδε
πετάλοισι μύρτων ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας;
ἐν ἀγῶνι περικτιόνων;

17.

Φοινίκεον ἱστίον, ὑγρῷ πεφυρμένον
πρινὸς ἄνθει ἐριθάλλου.

αὕτη γὰρ Κυλλήνης ἐν ὄρεσσι θοὸν κήρυκα τέχ᾽ Ἑρμῆν. 3. Correxi vulgatum *φίλαν θυγατέρων*. Ceterum cfr. Prolegg. XLV. et de Pleiadibus, Atlantis filiabus, Muelleri Prolegg. Myth. 191 sq.

Fr. 16. Photius v. *Περιαγειρόμενοι: Σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς ἐπαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα· ὅθεν Σιμωνίδης περὶ Ἀστύλου φησὶν οὕτως· Τίς δὴ κτλ.* 1. *νῦν γε* scripseram in Ed. Maj. *τοσάσδε* Porsonus: vulgo *τοσάδε*. Bergkius 25. locum sic conformabat: *Τίς δὲ δὴ τῶν νῦν τοσάδ᾽ ἢ πετάλοισι μύρτων* (vel *ἢ πεταλσι μ.*, cll. Crameri Ann. I, 121. ubi affertur *ἐν ἠρινοῖς πεταλσιν.*) | *ἢ στεφ.* | *ῥ. ἀνδήσατο* | *νίκας κτλ.* 3. Photius *περικτυόνων*. De Astyli Crotoniatae victoriis v. Paus. VI, 13, 1. Plat. Legg. 839, E. cum Scholiis. Pergit Photius: *Ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν. ἐκεῖνον γὰρ ἐκ Κρήτης κομισθέντα μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ φύλλοις στεφανοῦν καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων.* Haec cur ex eodem carmine Simonideo fluxisse arbitremur expositum est in Ed. Maj. Hinc

Fr. 17. addidi ex Plut. Thes. XVII. *Ἔδωκεν ἱστίον λευκὸν τῷ κυβερνήτῃ* (Aegeus), *κελεύσας ὑποστρέφοντα σωζομένου τοῦ Θησέως ἐπάρασθαι τὸ λευκόν· εἰ δὲ μή, τῷ μέλανι πλεῖν καὶ ἀποσημαίνειν τὸ πάθος· ὁ δὲ Σιμωνίδης οὐ λευκόν φησιν εἶναι τὸ δοθὲν ὑπὸ τοῦ Αἰγέως, ἀλλὰ Φοινίκεον ἱ. ὑγρῷ πεφ.* (πεφ. *ὑγρῷ* Bodl. 1. 2.) *πρινὸς ἄνθει ἐριθάλλου, καὶ τοῦτο τῆς σωτηρίας αὐτῶν ποιήσασθαι σημεῖον. Ἐκυβέρνα δὲ τὴν ναῦν Ἀμαρσυάδας Φέρεκλος, ὡς φησι Σιμωνίδης.* Scripseram *Φ. ἱ., ὑγρῷ πεφ. ἄνθει πρίνου* | *ἐριθάλλου*. Bergkius 25: *Φ. ἱ. πεφ. ὑγρῷ* |

18.

Βιότου κέ σε μᾶλλον ὤνασα πρότερος ἐλθών.

---

* 19. *Εἰς Ὄριλλαν ἐπινίκιον.*

Καρικὸς αἶνος.

ἐριθ. πρίνου ἄνθει. *Πρινὸς* certe non debebat mutari, quod cum Buttm. Gr. Max. I, 221. in metaplasta referri debebat; et. Philoponus Stephani *Πρὶν prius*; *πρίν arbustum*, quod injuria videtur Lobeckius Parall. I, 72. ex mendosa scriptura Plutarchi natum judicare. Ceterum cfr. Catull. Epithal. Pel. et Thet. 225 sqq. Interempto Minotauro domum tendunt: Plut. Thes. XXII. *Τῇ Ἀττικῇ προσφερομένων ἐκλαθέσθαι μὲν αὐτὸν, ἐκλαθέσθαι δὲ καὶ τὸν κυβερνήτην ὑπὸ χαρᾶς ἐπάρασθαι τὸ ἱστίον, ᾧ τὴν σωτηρίαν αὐτῶν ἔδει γνώριμον τῷ Αἰγεῖ γενέσθαι. τὸν δὲ ἀπογνόντα ῥῖψαι κατὰ τῆς πέτρας ἑαυτὸν καὶ διαφθαρῆναι. Καταπλεύσας δὲ ὁ Θησεὺς ἔθυε μὲν αὐτὸς ἃς ἐκπλέων θυσίας ηὔξατο τοῖς θεοῖς Φαληροῖ, κήρυκα δὲ ἀπέστειλε τῆς σωτηρίας ἄγγελον εἰς ἄστυ.* Qui repperit Aegea mortifero saltu concussam. Hinc adjeci

Fr. 18. ex Scholl. Soph. Aj. 727. *Καὶ ἐν Σιμωνίδῃ ἐπὶ τοῦ πρὸς Αἰγέα ἀγγέλου πεμφθέντος· Βιότου καί σε μᾶλλον ὤνασα πρ. ἐ.* Scripserant *βιότῳ κέ σε μ. ὄνασα*. Nunc Hermannum sequor; *Ad vitam*, ait caduceator, *magis te juvissem, si maturius advenissem*. Confer Soph. Aj. l. c.

Fr. 19. Diogenianus Praefat. Paroem. V. Gaisf. (Walz. Rhett. II, 10.) *Καρικὸς αἶνος λέγεται, ὃν ἀναφέρουσιν εἰς γένει Κᾶρα ἄνδρα· τοῦτον γὰρ ἁλιέα τυγχάνοντα χειμῶνος θεασάμενον πολύποδα εἰπεῖν· Εἰ μὲν ἀποδὺς κολυμβήσαιμι ἐπ' αὐτὸν, ῥιγώσω· ἐὰν δὲ μὴ λάβω τὸν πολύποδα, τῷ λιμῷ τὰ παιδί' ἀπολῶ. Κέχρηται δὲ τῷ λόγῳ τούτῳ Τιμοκρέων ἐν μέλεσι καὶ Σιμωνίδης αὐτοῦ μνημονεύει ἐν τῷ εἰς Ὄριλλαν (Ὄριλλαν? an Ὀρσίλαν? an Δορίλαν?) ἐπινίκιῳ.* Quo tenderint poetae, acerrimi adversarii, v. Prolegg. XVIII., conjicere licet ex Macario Chrysoc. Walzii Arsen. 318. *Κάριος αἶνος· ἐπὶ τῶν ἀπορούντων τι διαπράξασθαι. Ἁλιέα γάρ φασι τροφῆς ἀπορούντα χειμῶνος εἰπεῖν· Κολυμβήσω, ἀλλὰ ῥιγήσω· μὴ κολυμβήσω, ἀλλὰ πεινάσω.* Cfr. Exx. Critt. X, 60 sq.

20. Ἄδηλον.

Ἔστι τις λόγος,
τὰν Ἀρετὰν ναίειν δυσαμβάτοις ἐπὶ πέτραις,
* νῦν δέ μιν θεὰν χῶρον ἁγνὸν ἀμφέπειν.
Οὐδὲ πάντων βλεφάροις θνατῶν ἔσοπτος,
ὤ μὴ δακέθυμος ἱδρὼς ἔνδοθεν μόλῃ
ἵκῃ τ' ἐς ἄκρον ἀνδρείας.

21. Ἄδηλον.

Οὔτις ἄνευ θεῶν
ἀρετὰν ἔλαβεν, οὐ πόλις, οὐ βροτός.
Θεὸς ὁ παμμήτις· ἀπήμαντον γὰρ οὐδὲν
ἔστιν ἐν θνατοῖς.

III. 22. Ὕμνος εἰς Ἄνεμον.

Ἁπαλὸς δ' ὑπὲρ κυμάτων χεόμενος
πορφύρεα σχίζει περὶ πρῳΐραν τὰ κύματα.

Fr. 20. Clemens Al. Stromm. IV, 585. Potter. (211. Sylb.) Λέγει ἡ γραφή· Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται. Εἰκότως οὖν Σιμωνίδης γράφει. Ἔστι τις λόγος κτλ. Cfr. Hesiodi Opp. 265 sqq. Prolegg. XXXIX. 1. Interposueram δέ post ἔστι. 3. Libri νῦν δέ μιν θοὰν: scripseram ἁγνὰν δέ μιν θεὸν χ. Similiter sanctam speciem Virtutis exornaverat Telesilla Argiva in Scholl. Hom. Odyss. N, 289. 4. Interposueram γὰρ post οὐδέ: nunc μὰν placeret. 6. ἵκῃ vulgo: Doederleinius sententiam censet hoc fere requirere: Οὐδὲ γὰρ — ἔσοπτος | ᾧ μὴ δ. ἱ. ἔνδ. | μόλῃ, οὐκ ἂν ἵκοιτ' ἐς ἄ. ἀ. Ego sic interpretor: *Neque conspicuus est inter homines, nisi cui gravis sudor intrinsecus oriatur pervenerit que in summam virtutis.* Cfr. Tyrtaei El. 9, 43.

Fr. 21. Theophilus ad Autol. II, 9, 108. Σιμωνίδης· Οὔτις ἄνευ θεῶν ἀρ. λ., οὐ π., οὐ βρ. θεὸς ὁ (οὐ Steph.) παμμήτις, ἀπήμαντον δὲ (τε Steph.) οὐδέν ἐστιν ἐν αὐτοῖς. Sic libri; quae probabiliter correxisse puto. Hermannus ἀπήμ. δ' οὐδέν ἐστιν ἐν ἀνθρώποις facilius et aptius judicat.

III. Ὕμνος εἰς Ἄνεμον. Himerius Orat. III, 14. Ὁ ἄκεμος ἐπιγνοὺς οἷμαι, τὴν Κείαν ᾠδήν, ἣν Σιμωνίδης αὐτῷ προσῇσε μετὰ τὴν θάλατταν, ἀκολουθεῖ μὲν εὐ-

* IV. 23. *Παιὰν εἰς Ἀπόλλωνα Πύθιον.*

Δαλογενὲς, εἴτε Λυκίαν . . . . .
χρυσεοκόμα Ἕκατε, παῖ Διός.

V. 24. *Σκόλιον.*

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ καλὸν φυὰν γενέσθαι·

θὺς τοῖς μέλεσι, πολὺς δὲ πνεύσας κατὰ πρύμνης οὔριος ἐλαύνει τὴν ὁλκάδα τῷ πνεύματι.

Fr. 22. Himer. Eclogg. XIII, 32. *Νῦν ποιητικῶς ἐθέλων καλέσαι τὸν ἄνεμον, εἶτα οὐκ ἔχων ποιητικὴν ἀφεῖναι φωνὴν, ἐκ τῆς Κείας Μούσης προςειπεῖν ἐθέλω τὸν ἄνεμον· Ἁπαλὸς κτλ.* 1. Fortasse *ἁλὸς* scribendum cum Bergkio. 2. Libri *πορφυρᾶ σχ. περὶ τὴν πρώραν τὰ κ.* Correxi. De naufragio Simonidis multa fabulatur Phaedrus Fabb. IV, 21. Cfr. Epigr. CX. et Hymnum Arionis qui fertur. Ut Simonides h. l. *πρωΐραν*, sic alias *κυανοπρωΐραν* dixerat, v. fr. CXLVI.

IV. *Παιὰν εἰς Ἀπόλλωνα Πύθιον.* Julianus Epp. XXIV. *Σιμωνίδῃ τῷ μελικῷ πρὸς τὴν Ἀπόλλωνος εὐφημίαν ἀρκεῖ τὸν θεὸν Ἕκατον προςειπόντι καὶ καθάπερ ἀντ' ἄλλου τινος ἱεροῦ γνωρίσματος αὐτοῦ τὴν ἐπωνυμίαν κοσμῆσαι, διότι τὸν Πύθωνα τὸν δράκοντα βέλεσιν ἑκατὸν, ὥς φησιν, ἐχειρώσατο· καὶ μᾶλλον αὐτὸν Ἕκατον ἢ Πύθιον Χαίρειν προςαγορευόμενον, οἷον κλήρου τινος ἐπωνυμίας συμβόλῳ προςφωνούμενον.* Cfr. Callimachi Hymn. Apoll. 100. Originationibus ejusmodi *ἐν τοῖς τῶν θεῶν ἐπαίνοις* legitimum esse locum docet Aristoteles Rhet. II, 28, 29. Bergkius 26. ad hunc Paeanem revocavit magna cum probabilitate

Fr. 23. Aristot. Rhet. III, 8. *Ἔστι Παιᾶνος δύο εἴδη, ἀντικείμενα ἀλλήλοις· ὧν τὸ μὲν ἐν ἀρχῇ ἁρμόττει, ὥςπερ καὶ χρῶνται· οὗτος δ' ἐστὶν, οὗ ἄρχει μὲν ἡ μακρὰ, τελευτῶσι δὲ τρεῖς βραχεῖαι· Δαλογενὲς κτλ. Καί· Χρυσεοκόμα κτλ.* Bergkius post *Λυκίαν* addit (*ἔχεις*): sequebantur plures loci Apollini sacri. Tum *χρυσεοκόμας* citra necessitatem ponit. Quae addit Aristoteles, eundem poetam auctorem habere existimat: *Ἕτερος δ' ἐξ ἐναντίας, οὗ βραχεῖαι ἄρχουσι τρεῖς· ἡ δὲ μακρὰ τελευταία· Μετὰ δὲ γᾶν ὕδατά τ' ὠκεανοῦ ἠφάνισε Νύξ.*

V. *Σκόλιον.* 24. Simonidi Scolion hoc tribuunt Clemens Al. Stromm. IV, 375. Schol. Plat. Gorg. 451, E (*οἱ μὲν Σιμω-*

τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

VI. Ὑπορχήματα.

25.

Ἀπέλαστον ἵππον ἢ κύνα
Ἀμυκλαίαν ἀγωνίῳ
ἐλελιζόμενος ποδὶ μίμεο καμπύλον μέλος διώκων.

26.

Οἷος [δ᾽] ἀνὰ Λώτιον ἀνθεμόεν πεδίον πέταται θάνατον κεραέσσᾳ
εὑρέμεν * μανύων ἐλάφῳ·

νίδου φασὶν, οἱ δὲ Ἐπιχάρμου.) aliique: sed cfr. Ath. XV, 694, E. Emendatius scriptum post Herm. El. D. M. 694.

VI. Ὑπορχήματα. Cfr. Boeckh. Frr. Pind. 596 sqq. et Muelleri Dorr. I, 351 sq.

Fr. 25. Plutarch. Symp. IX, 15, 2. Ὀρχηστικὴ καὶ ποιητικὴ κοινωνία πᾶσα καὶ μέθεξις ἀλλήλων ἐστὶ καὶ μάλιστα μιμούμεναι περὶ τὸ τῶν ὑπορχημάτων γένος, ἓν ἔργον ἀμφότεραι, τὴν διὰ τῶν σχημάτων καὶ τῶν ὀνομάτων μίμησιν ἀποτελοῦσιν· Δόξειε δ᾽ ἄν, ὥσπερ ἐν γραφικῇ, τὰ μὲν ποιήματα ταῖς γραμμαῖς, ὑφ᾽ ὧν ὁρίζεται τὰ εἴδη, [μάλιστα ἐοικέναι, τὰ δὲ τῆς ὀρχήσεως τοῖς χρώμασιν.] Δηλοῖ δὲ ὁ μάλιστα κατωρθωκέναι δόξας ἐν Ὑπορχήμασιν καὶ γεγονέναι πιθανώτατος αὐτὸς ἑαυτοῦ, τὸ δεῖσθαι τὴν ἑτέραν τῆς ἑτέρας. Τὸ γὰρ· Ἀπέλαστον κτλ. 1. Πελασγὸν Meinekius Euphor. 72. 2. Ἀμυκλαίαν videtur ai corripere, ut Anacr. Hymn. 1, 4. Ληθαίου. Canes Amyclaeae vel Laconicae velocissimae, v. Pindar. Hyporch. fr. 3. Ἀπὸ Ταϋγέτοιο μὲν Λάκαιναν ἐπὶ θηρσὶ κύνα τρέφειν πυκινώτατον ἕρπετόν. 3. καμπύλον, *varietate metrorum tortuosum carmen saltatione persequentes*, h. e. motus vestros attemperantes ad modos carminis.

Fr. 26. Plutarchus: ἢ τὸ· Οἷος κτλ. 1. Libri τε πεδίον. 2. Vulgo θάνατον κεράσασα εὑρέμεν μανύων ἐλάφῳ: Amyotus expressit κεροέσσας (vel κεράας) σπεύδεμεν — ἔλαφου. Scripseram κεράᾳ εὑρ. ματεύων ἐλάφῳ: nunc κεραέσσᾳ lenius visum: Hermannus scribendum proponit: εὑρέμεναι κύων. Et

τὰν δ' ἐπ' αὐχένι στρέφοισαν
* ἕτερον κάρα πάντ' ἐπ' οἶμον.

27.

Ὅπα δὲ γαρῦσαι
σὺν τ' ἐλαφρὸν ὄρχημ' οἶδα ποδῶν μιγνύμεν'
Κρήταν μιν καλέοισι τρόπον, τὸ δ' ὄργανον Μολοσσόν.

VII. Θρῆνοι.

28. Εἰς Σκοπάδας.

Ἄνθρωπος ἐὼν μή ποτε εἴπῃς ὅ τι γίγνεται ἄὐριον,
μηδ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσσον χρόνον ἔσσεται·

κύων jam Wyttenbachius posuit. De cornutis cervabus cfr. Bergk. ad Anacr. fr. XLIX. 3. Vulgo τὰν δ' ἐπ' αὐχένι στρέφοιαν ἕτερον κάρα πάντα ἕτοιμον. Dederam τὰν δ' ἐλ' αὐχένι στρέφοισαν | σφέτερον κάρα πάντ' ἐς (vel ἐπ') οἶμον. Hermannus: τὰν δ' ἐπ' αὐχένι στρέφοισαν ἔτειρεν (vel ἔτειρεν ὃν) κάρα πάντ' ἐπ' οἶμον.

Fr. 27. Plutarchus l. c. Αὐτὸς γοῦν οὐκ αἰσχύνεται περὶ τὴν ὄρχησιν οὐχ ἧττον ἢ τὴν ποίησιν ἐγκωμιάζων· Ὅταν δὲ (δεῖ Turnebus) γηρῶσαι νῦν ἐλ. ὄρχημα οἶδα κιλ. Amyotus sic fere legisse videtur: ὥρα δ' ἔτι νῦν γαρῦσαι Ἐλαφρὸν ὄρχημά τ' ἀοιδᾷ ποδῶν μιγνύμεν. Posueram equidem ὅπα δὲ γαρῦσαι | σύν τ' ἐλαφρὸν ὄρχημ' οἶδα π. μιγνύμεν. Hermannus: ὅταν δὲ γαρύω σε, σὺν ἐλαφρὸν ὄρχημ' οἶδα π. μιγνύμεν. Bergkius 27. Ὅταν δὲ γυρῶσ' ἴχνη, Ἐλαφρὸν ὄρχημ' ἀοιδᾷ π. μίγνυμεν. At οἶδα μιγνύμεν mihi omni dubitatione exemptum est, non minus quam γαρῦσαι. 3. Vulgo Κρῆτα μὲν καλέουσι τρόπον: Athen. IV, 181, B. Κρητικὰ καλοῦσι τὰ ὑπορχήματα· Κρῆτα (Κρήταν PC et Eustath. Il. 1166, 49.) μέν (sic P: τε C: μιν Casaubonus.) καλέουσι τρ., τὸ δ' ὄργ. Μολ. Scripseram δέ μιν: Hermannus ὃν Κρήταν καλ. τρ.: Bergkius Κρήταν δέ γέ μιν.

VII. Θρῆνοι. Dionysius Vett. Scrr. Judic. II, 6. Σιμωνίδου παρατήρει τὴν ἐκλογὴν τῶν ὀνομάτων, τῆς συνθέσεως τὴν ἀκρίβειαν· πρὸς τούτοις, καθ' ὃ βελτίων εὑρίσκεται καὶ Πινδάρου, τὸ οἰκτίζεσθαι μὴ μεγαλοπρεπῶς, ὡς ἐκεῖνος, ἀλλὰ παθητικῶς. Adde Quintilian. Instt. Oratt. X, 1, 64. Horat. Carmm. II, 1, 37.

Fr. 28. Favorinus Stob. Flor. CV, 62. (cll. CV, 9.) Ἀν-

ὠκεῖα γὰρ οὐδὲ ταννπτερύγου μυίας
οὕτως ἀ μετάστασις.

* 29. Ἄδηλος.

Οὐκ ἐστὶν κακὸν
ἀνεπιδόκητον ἀνθρώποις· ὀλίγῳ δὲ χρόνῳ
πάντα μεταῤῥίπτει θεός.

30. Ἄδηλος.

Ὅτε λάρνακι [δ'] ἐν δαιδαλέᾳ ἄνεμός τέ μιν
κινηθεῖσά τε λίμνα
δείματι ἤριπεν, οὐκ ἀδιάντοισι παρειαῖς
ἀμφί τε Περσεῖ βάλλε φίλαν χέρα
εἶπέ τε· ὦ τέκος, οἷον ἔχω πόνον·
σὺ δ' αὔτως γαλαθηνῷ
* δεῖθει κνώσσεις. ἐν ἀτερπεῖ

θρωπος κτλ. ὥςπερ ἀμέλει ὁ ποιητὴς διεξέρχεται τὴν τῶν Σκοπαδῶν ἀθρόαν ἀπώλειαν. De Scopadarum interitu v. Prolegg. X sq.

Fr. 29. Theophil. ad Autol. II, 54, 257. Ad fidem codd. emendavi Exx. Critt. IV, 19.

Fr. 30. Dionysius Hal. C. V. XXVI. Ἔστιν ἡ διὰ πελάγους φερομένη Δανάη, τὰς ἑαυτῆς ἀποδυρομένη τύχας· Ὅτε κτλ. Comparandum carmen Horat. III, 27. Lydiis modis carmen aptum, ut videtur. 1. Codd. δ' ignorant, quod interposui. τέ μιν — ἤριπεν scripsi: libri τε μὴν — ἔριπεν, v. Ed. Maj. 130. ἤριπεν transitivo intellectu posuit Herod. IX, 70. Intellige: *Quum vero ventus et commotum mare* Danaam *in pavorem compellerent, Perseum amplexata* sqq. Sed quum codex Guelf. ἔρπε habeat, fortasse *δείματι ἔρπε, οὐκ* scribendum. 2. κιν. δὲ libri: correxit Brunckius. 3. οὔτ' ἀδιάνταισι vulgo: margo Aldinae Victorianae ἀδίαν τοῖσι, Guelf. ἀδιαντῆσι: οὐκ nobis scribendum fuit, ἀδιάντοισι Brunckius integravit. Nec repugno nunc, qui in Ed. Maj. ἀδιάνταισι defendendum sustinueram. Movit Lobeckius Parall. 458. 4. Vulgo Περσεῖ et βάλε: sed βάλλε Guelf. et Aldus. 5. Sic Guelf. Vulgo εἶπέν τ'. τέκος Guelf.: vulgo τέκνον. Ath. IX, 396, E. Σιμωνίδης ἐπὶ τοῦ Περσέως τὴν Δανάην ποιεῖ λέγουσαν· Ὦ τέκος, οἷον ἔχω πόνον· σὺ δ' αὖτε εἰς γαλαθηνῷ δ' ἤτορι κνώσσεις. 6. σὺ δ' αὔτως γαλαθηνῷ

δώματι χαλκεογόμφῳ, νυκτιλαμπεῖ
κυανέῳ τε δνόφῳ ταθείς.
Ἀυαλέαν δ' ὕπερθε τεὰν
κόμαν βαθεῖαν παριόντος
κύματος οὐκ ἀλέγεις,
οὐδ' ἀνέμου φθόγγων,
κείμενος ἐν πορφυρέᾳ χλανίδι, πρόσωπον καλόν.

Ἐπῳδός.

Εἰ δέ τοι δεινὸν τό γε δεινὸν ἦν,
καί κεν ἐμῶν ῥημάτων λεπτὸν ὑπεῖχες οὖας.
Κέλομαι εὖδε βρέφος,
εἰδέτω δὲ πόντος,
εὐδέτω ἄμετρον κακόν·
μεταβουλία δέ τις φανείη,

Mehlhornius: libri Dionysii οὐ δ' αὐταῖς ἐγαλαθηνωδεῖ θεικνώσσεις (vel δεικν.): Casaubonus σὺ δ' ἀωτεῖς γαλαθηνῷ τ' ἤτορι κνώσσεις. Sed in δεῖθει vel δεῖδει latere aliud vel ipsa Athenaei scriptura docet, ad speciem vitii immunis, re vitiosa: nam ἦτορ per casus declinari veteres magistri recte negant, v. Lobeck. Parall. 217. Hinc δ' ante ἤτορι et ipsum signum est obliteratae genuinae scripturae: in Ed. Maj. στήθει dederam, quod non *animo* significare volui vel *mente*, sed *pectore placide spirante*. Alii ἤθει, ξίδει, μείδει volunt. Hermannus autem σὺ δ' αὖ τέως γαλαθηνῷ τ' ἤτορι κνώσσεις, cui τ' vocula δὲ post v. αὐαλέαν respondeat. 7. δούρατι Guelf. χαλκεογόμφῳ δὲ libri: suffecerunt τε: nos proscripsimus. Νυκτιλαμπὴς δνόφος, *tenebrae quales noctu lucent*, h. e. σκότος. Compara Aesch. Pers. 420. Eurip. Iph. Taur. 110. Hel. 518. μελαμφαὲς ἔρεβος, ubi v. Pflugkium. Interpretes νυκτιλαμπὲς ad δῶμα referebant, quod fieri nequit. Hermanno tamen sic placet distingui: χαλκεογόμφῳ τε νυκτιλαμπεῖ κυανέῳ τε δνόφῳ. ταθείς scripsi: libri τὰν δ' εἰς, τάδε εἰς: editores conjectaverant τὰ δ' αὐαλέαν, τὺ (vel σὺ) δ' αὐαλέαν. Nostram scripturam corroborat δ' post αὐαλέαν in libris additum. 10. κόμαν βαθεῖαν, Sim. Amorg. 7, 66. 13. πρόσωπον καλὸν πρόσωπον Guelf. Ald. 15. ὑπεῖχες οὖας, h. e. ὑπήκουες, unde genitivum poterat adjunctum habere. 16. Libri κέλομαι. 18. Vulgo εὐδέτω δ' ἄμ.: δ' ignorant libri. Cfr. autem Theocr. XXIV, 7. Alcmanis fr. 43. 19. Sic Guelf.: reliqui ματαιοβουλία. Unde Bergkium secutus μεταιβολία

Ζεῦ πάτερ, ἐκ σέο·
ὅ τι δὲ θαρσαλέον ἔπος εὔχομαι,
τεκνόφι δίκαν σύγγνωθί μοι.

31. Ἄδηλος.

Οὐδὲ γὰρ οἳ πρότερόν ποτ' ἐπέλοντο,
θεῶν δ' ἐξ ἀνάκτων ἐγένονθ' υἷες,
ἡμίθεοι, ἄπονον οὐδ' ἄφθιτον
οὐδ' ἀκίνδυνον βίον ἐς γῆρας
ἐξίκοντο τελέσαντες.

32. Ἄδηλος.

Πάντα γὰρ μίαν ἵκνεῖται δασπλῆτα Χάρυβδιν,
αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος.

---

edideram. Quod jam non satis tutum videtur. Hermannus commate post κακὸν distinguens ματαιοβουλία δέ τις φ. retinet, h. e. τὸ κακὸν δὲ ματ. τις φαν. ἐκ σέο. 20. ὅτι δὴ libri: ὅττι δὲ Mehlhornius, εἴ τι δὲ Schaeferus. 21. Libri κνοφιδίκας σύγγνωθί μοι, τεκνόφι δίκας μοι, Regius 1. δίκας σύγγνωθί μοι. Schaeferus δίκᾳ, ob *justam filii causam*: Mehlhornius δίκαν, *in gratiam filioli*. Quod mihi etiamnunc necessarium videtur. Hermannus sic: Ὅ τι δὲ θ. ἔ., εὔχομαι, τεκνόφι δίκας σὺ γνῶθί μοι, quae sic interpretatur: *Was aber ein vertrauensvolles Wort ist, ich flehe dich an, wegen des Kindes sprich da mir Recht zu.* Bergkio 28. Epodus sic videtur legi debere: Εἰ δὲ τοὶ δ. τό γε δ. ἦν, | καί κεν ἐ. θρηνημάτων λεπτὸν ὑπ. οὖας. | Κέλομαί σ', εὖδ' ὦ βρέφος, εὐδέτω δὲ πόντος, | Ἔ. δ' ἄμ. κακόν. | Μεταιβολία δέ τ. φ., | Ζ. π., ἐκ σέο· ὅττι δὲ θαρσαλέον ἔπος | Εὔχομαι, τεκνόφι δίκαν σύγγνωθί μοι.

Fr. 31. Stob. Floril. XCVIII, 15. Σιμωνίδου. 2. Vulgo ἐγένοντο υἷες: omisso υἷες Bergkius 28. θεῶν δ' ἐξ ἀν. ἐγένονθ' ἡμίθεοι | Ἄπονον κτλ. De locutione υἷες ἐξ ἀν. cfr. Hom. Il. *B*, 247. Wunder. Soph. Phil. 3. 3. De aerumnosa vita ἡμιθέων v. Hesiod. Opp. 156 sqq. Hom. Il. *M*, 23. Similiter hinc solatia haurit Pindarus Pyth. III, 86. 5. τελέσσαντες Bergkius.

Fr. 32. Stob. Flor. CXVIII, 5. Σιμωνίδου. 1. De v. δασπλὴς (Orcum significat poeta) v. Meinek. Euphor. 121.

33. Ἄδηλος.

Πολλὸς γὰρ ἄμμιν εἰς τὸ τεθνάναι χρόνος, ζῶμεν δ' ἀριθμῷ παῦρα κακῶς ἔτεα.

34. Ἄδηλος.

Ἀνθρώπων ὀλίγον μὲν κάρτος, ἄπρηκτοι δὲ μεριμνόνες,
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ·
ὁ δ' ἄφυκτος ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον
μέρος οἵ τ' ἀγαθοὶ ὅστις τε κακός.

* 35. Incertum.

Τοιάδε θνατοῖσι κακὰ κακῶν
ἀμφί τε κῆρες εἰλεῦνται, κενεὰ δ' εἴζδυσις οὐδ' αἰθέρι.

* 36. Incertum.

Ἀτέκμαρτος [γὰρ] ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστόν, πλανᾶται συντυχίαις·

Fr. 33. Stob. Flor. CXXI, 1. *Σιμωνίδου.* 1. Libri *ἡμῖν εἰς τεθνάναι:* Valckenarius *ἡμῖν εἰς τὸ τ.:* Bergkius 28. *ἀμῖν εἰς τεθνάναι.* *ἀριθμῷ:* in Ed. Maj. *ἀμιθρῷ* dederam, v. fr. CXXXIV.

Fr. 34. Plut. Morall. II, 107, B. 1. Vulgo *ἄπρακτοι*, v. Boeckh. Nott. Critt. Pind. Isthm. VII, 7. 2. In Ed. Maj. *ὁ' ἐν παύρῳ* dederam, eodemque modo video emendare Pflugk. Schedd. Critt. 20., qui post *μέλ.* addidit [*ἀνδρῶν*]. 3. Libri *ὁ δ' ἄφυκτ' ὠμὸς:* vulgo *ὁ δ' ἄφυκτος ὁμῶς.* Fortasse *ὁ δ' ἄφυκτος ὅμως* scribendum. Quod dedi Mehlhornio debetur. Pflugkius *πᾶσι δ' ἄφυκτος ὁμῶς.* 4. Expunxeram in Ed. Maj. *μέρος:* Bergkius 28. *λάχομεν μέρος* volebat. Versus nunc aliter digessi. Ceterum Pflugkius quoque *μέρος* delet.

Fr. 35. Plutarch. Cons. Apoll. 115, A. non nominato auctore; Simonidi probabiliter vindicat Welckerus Mus. Rhen. 1833, 619. Dialectus a nobis mutata: Plutarchus *θνητοῖς, κενεήν.* Ait poeta: *Talia mortalibus mala malorum circaque exitia gignerantur, vacuus autem aditus ne aetheri quidem.* Cfr. Apoll. Rhod. IV, 1665. Democrit. Stob. Flor. XCVIII, 65. Locutionem *κακὰ κακῶν* illustrant Intpp. Soph. O. C. 1232. Wexius Antig. 1256.

Fr. 36. Stob. Florll. XCVIII, 66. *Ἑρμολόχου* (*Ἑρμολάου* Trincav.). Eximie blanditur sententia Pflugkii, qui Schedd.

43.

Μή μοι καταπαύετ', ἐπείπερ
ἤρξατο τερπνοτάτων μελέων ὁ καλλιβόας πολύχορδος αὐλός.

44.

Ὁ δ' ἵκετ' εἰς Κόρινθον, οὐ Μαγνησίαν
ναῖεν, ἀλόχου δὲ Κολχίδος συνάορος
Θράνου Λεχαίου τ' ἄνασσε.

45.

Καὶ σὺ μέν, εἴκοσι παίδων μᾶτερ, ἔλλαθι.

46.

Κορινθίοισι δ' οὐ μανίει τὸ Ἴλιον.

Fr. 43. Pergit Aristides post fr. 41. *Τί δ' ἐπειδὰν λέγῃ· Μή μοι κτλ.* Haec non continuanda prioribus, quod Bergkio 31. visum, apparet ex Aristide ipso. 2. Fortasse *ἄρξατο*. *πολυχορδότατος* vocatur *αὐλός*, qui multarum chordarum sonum aequet. Sic saepe ad tibias applicantur, quae antiquitus uni citharae, antiquissimo instrumento musico et vere Graeco, convenirent. Cfr. Plutarch. Sympos. II, 4. Jacobs. Anth. Pal. 664. Huschk. Ep. Crit. in Propert. 9 sqq.

Fr. 44. Scholl. Eur. Med. 20. *Ὅτι δὲ καὶ ἐβασίλευσεν ἡ Μήδεια Κορίνθου, ἱστοροῦσιν Εὔμηλος καὶ Σιμωνίδης, λέγων οὕτως· Οὐδὲ κατ' εἰς Κόρ. κτλ.* Correxere haec Hermannus et Elmslejus. 2. Libri *συνάστεος*, quod emendavi. Elmslejus *συνέστιος*, Hermannus *συνάστιος*. 3. Fortasse *Κρανείου Λεχ.* Ceterum cfr. Paus. II, 3, 8. Scholl. Pind. Ol. XIII, 75.

Fr. 45. Scholl. Il. *Κ*, 252. *Ὁμήρου εἰπόντος· Ἐννεακαίδεκα μέν μοι ἴης ἐκ νηδύος ἦσαν, Σιμωνίδης δὲ φησίν· Καὶ κτλ.* Alloquitur umbra Achillis Hecubam. Cfr. Longinus de Subl. XV, 7. *Ἄκρως ὁ Σοφοκλῆς — πεφάνταται κατὰ τὸν ἀπόπλουν τῶν Ἑλλήνων ἐπὶ τοῦ Ἀχιλλέως, προφαινομένου τοῖς ἀναγομένοις ὑπὲρ τοῦ τάφου· ἣν οὐκ οἶδ' εἴ τις ὄψιν ἐναργέστερον εἰδωλοποίησε Σιμωνίδου.* Cfr. Eurip. Hec. 37 sqq. *εἴκοσι*, v. Theocr. XV, 139. Cic. Tusc. Disp. I, 35, 85. *ἔλλαθι* Villoisoni Scholia; *ἵλαθι* Gaisfordius et Bekkerus. Aeolensibus illam formam tribuunt Grammatici, v. Et. Gud. 566, 26. Seidlerus de frr. Alcaei et Sapph. 180. Naekius Mus. Rhen. 1836, 20.

Fr. 46. Scholl. Pind. Ol. XIII, 78. *Οἱ Κορίνθιοι ἐπ' ἀμφότερα τὰ μέρη ἠρίστευσαν ἐν Ἰλίῳ· — τοῦτο δὲ καὶ Σιμω-*

47.

Σπάρτα δαμασίμβροτος.

48.

Ἀκάνθιος τέττιξ.

49.

Ἔσχατον δύεται κατὰ γᾶς.

50.

Χρυσὸς ἐφθὸς, ἀκήρατος, οὐδὲ μόλυβδον ἔχων.

νίδης εἶπε· Κορ. κτλ. οὐδὲ Λαναοί· ἀμφοτέροις γὰρ σύμμαχοι ἐγένοντο. Codex *Κορινθίοισιν οὐ μανιεῖ οὐδὲ Λαναοῖς.* Correxit Boeckhius. Confer Plut. Dion. 1. Arist. Rhet. I, 6. *Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον.* Taxabat poeta Corinthiorum in bellis Persicis languorem, ut videtur. Posthac aurum Corinthiorum sententiam ipsius inclinasse sunt quae arguant, v. Prolegg. XXVIII. Dixit de h. l. nuper Vaterus in Rhes. CXIX sq.

Fr. 47. Plutarch. Agesil. 1. *Φασὶν ὑπὸ τοῦ Σιμωνίδου τὴν Σπάρτην προσηγορεῦσθαι δαμασίμβροτον, ὡς μάλιστα διὰ τῶν ἐθῶν τοὺς πολίτας τοῖς νόμοις πειθηνίους καὶ χειροήθεις ποιοῦσαν, ὥσπερ ἵππους εὐθὺς ἐξ ἀρχῆς δαμαζομένους.*

Fr. 48. Steph. Byz. v. *Ἄκανθος· Ἀκάνθιος τέττιξ· ἐπὶ τῶν ἀφώνων. τοιοῦτοι γὰρ ἡ τῆς χώρας τέττιγες, ὡς Σιμωνίδης.* Ἀκ. τέττιξ dictus *ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις* Suidas. In proverbio erat *ἀμουσότερος Ἀκανθίου τέττιγος,* Provv. Bodl. 81. Simonides in aemulum nescio quem haec verterat, opinor.

Fr. 49. Plutarch. Morall. II, 783, D. *Πολιτεία δημοκρατικὴ καὶ νόμιμος ἀνδρὸς εἰθισμένου παρέχειν αὑτὸν οὐχ ἧττον ἀρχόμενον ὠφελίμως ἢ ἄρχοντα, καλὸν ἐντάφιον ὡς ἀληθῶς τὴν ἀπὸ τοῦ βίου δόξαν τῷ θανάτῳ προστίθησι· τοῦτο γὰρ ἔσχατον κτλ. ὥς φησι Σιμωνίδης.* Cfr. Prolegg. XXXIII. Naekius Schedd. Crit. 28. *ἐσχάτιον.*

Fr. 50. Plut, Morall. II, 65, B. *Οὐ μὰ Δία παρὰ Λύδιον ἄρμα πεζὸς οἰχνεύων* (Pind. Fr. Inc. 119.), *ἀλλὰ παρὰ χρυσὸν ἐφθὸν, ὥς φησι Σ., ἀκήρατον, οὐδὲ μόλιβδον ἔχοντα.* Candidum amicum comparabat cum auro puro, v. ad Theogn. 835.

51.

Ὁ δ' αὖ θάνατος κίχε καὶ τὸν φυγόμαχον.

52.

Ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας.

53.

Πόλις ἄνδρα διδάσκει.

54.

Πάσαισιν κορυδαλλίσιν
χρὴ λόφον ἐγγενέσθαι.

55.

Τὸ γὰρ γεγεναμένον οὐκέτ' ἄρεκτον ἔσται.

56.

Οὐδὲ καλᾶς σοφίας χάρις,
εἰ μή τις ἔχει σεμνὰν ὑγίειαν.

Fr. 51. Stob. Flor. CXVIII, 6. *Σιμωνίδης.* Vulgo *ἔκιχε:* rectius Bergkius. 31. Horat. Carmm. III, 2, 14. *More et fugacem consequitur virum.*

Fr. 52. Scholl. Aristid. 190. Frommel. (501, Dindorf.) *Τὸ σιωπῆς ἀκ. γ. ἐκ Σιμωνίδου ἐστὶ τοῦ Κείου.* Recte Clemens Al. Stromm. II, 168, Apostol. IX, 17. Cfr. Ed. Maj. 113. et 233. Horat. Carmm. III, 2, 25. *Est et fideli tuta silentio Merces*, ut fr. 51. 52. ex eodem carmine petita videri possint.

Fr. 53. Plut. Morall. II, 783, B. *Τὸ γὰρ Πόλις ἄ. δ. κατὰ Σιμωνίδην, ἀληθές ἐστιν ἐπὶ τῶν ἔτι χρόνον ἐχόντων μεταδιδαχθῆναι.* Vide Prolegg. XXXV.

Fr. 54. Plut. Morall. II, 91, B. *Πάσῃσι κορυδαλῇσι χρὴ λόφον ἐγγενέσθαι, κατὰ τὸν Σιμωνίδην.* Cfr. Ed. Maj.

Fr. 55. Scholl. Soph. Aj. 375. *Κατὰ τὸ Σιμωνίδου· Τὸ γὰρ κτλ.* Cfr. Soph. Trach. 742. Horat. Carmm. III, 29, 47.

Fr. 56. Sextus Emp. adv. Math. XI, 700. *Σιμωνίδης· ὁ μελοποιός φησι, μηδὲ καλᾶς σοφίας εἶναι χάριν, εἰ μή τις ἔχοι σεμνὴν ὑγείαν*, quae conformavi. Cfr. Scolion 24.

57.

Τίς γὰρ ἀδονᾶς ἄτερ
θνατῶν βίος ποθεινὸς ἢ ποία τυραννίς;
τᾶς δ' ἄτερ οὐδὲ θεῶν ζαλωτὸς αἰών.

58.

Πορφυρέου δ' ἀπὸ στόματος ἰεῖσα φωνὰν παρθένος.

59.

Δεῦτ' ἀηδόνες πολυκώτιλοι, χλωριύχενες εἰαριναί.

60.

Ἄγγελε κλυτὰ ἔαρος ἀδυόδμου,
κυανέα χελιδοῖ.

61.

Ἐξελέγχει δ' ὁ νέος
οἶνος οὐ τὸ πέρυσι δῶρον ἀμπέλου· ὁ δὲ μῦθος
ὅδε κενεόφρων.

Fr. 57. Athen. XII, 512, C. *Καὶ οἱ φρονιμώτατοι δὲ καὶ μεγίστην δόξαν ἐπὶ σοφίᾳ ἔχοντες μέγιστον ἀγαθὸν τὴν ἡδονὴν εἶναι νομίζουσιν· Σιμωνίδης μὲν οὕτως λέγων· Τίς γὰρ κτλ.* Cfr. Pindar. Scol. fr. 92.

Fr. 58. Ion. Ath. X, 604, B. *Ἀναγελάσας ἐπὶ τῷ Ἐρετριεῖ ὁ Σοφοκλῆς· Οὐδέ τόδε σοὶ ἀρέσκει ἄρα, ὦ ξένε, τὸ Σιμωνίδειον, κάρτα δοκεῖν τυῖς Ἕλλησιν εὖ εἰρῆσθαι: Πορφ. κτλ.* Viri docti ἀπὸ delebant: ego δ' interposui.

Fr. 59. Et. M. 813, 8. *Χλωρηΐς ἀηδών* (Odyss. T, 518.): *ἀπὸ τοῦ χρώματος· — καὶ Σιμωνίδης· Εὖτ' ἀηδ.* Scripsi δεῦτ'. Cfr. Dissen. Pind. Frr. 620. de argumentis dithyrambo-rum, ad quos haec spectare conjeci.

Fr. 60. Scholl. Ar. Avv. 1410. *Παρὰ τὰ Σιμωνίδου· Ἄγγελε κτλ.* Vulgo *κλητά:* recte Ursinus. *ἔαρος ἀδ.*, ut Pind. Hyporch. III, 14. *εὐόδμον ἔαρ.*

Fr. 61. Scholl. Pind. Ol. IX, 74. (*Αἶνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων νεωτέρων.*) *Δοκεῖ τοῦτο πρὸς τὸ Σιμωνίδειον εἰρῆσθαι· — ἐπειδὴ ἐκεῖνος εἶπεν· Ἐξελέγχει κτλ., διὰ τοῦτο ἐπαινεῖ ὁ Πίνδαρος παλαιὸν οἶνον.* Simonides in novitiae cujusdam fabulae contemptum dixerat.

62.

Τὸ δοκεῖν
καὶ τὰν ἀλάθειαν βιᾶται.

* 63.

Μόνος ἄλιος ἐν οὐρανῷ.

64.

Ἐς ἄλα στίζοισα πνοάν.

65.

Ἴσχει δέ με πορφυρέας ἁλὸς ἀμφιταρασσομένας ὁρυμαγδός.

* 66.

Λευκᾶς καθύπερθε γαλάνας

Fr. 62. Scholl. Eur. Or. 789. *Καὶ Σιμωνίδης· Τὸ δ. κτλ.* Cfr. Plat. Rep. II, 365, C. Aesch. Ag. 762.

Fr. 63. Theodor. Metoch. 90. *Μόνος ἅγιος ἐν οὐρανοῖς, φησὶ Σιμωνίδης.* Emendavi Exx. Critt. X, 62.

Fr. 64. Scholl. Il. Φ, 127. *Ἔστιν ἡ φρὶξ κινουμένου τοῦ πνεύματος ἀρχή· Σιμωνίδης δὲ αὐτὴν καὶ δεῖξαι πειρώμενος οὕτως ἔφη· Ἐς κτλ.*

Fr. 65. Plut. Morall. II, 602, C. *Ἂν γὰρ τούτων τις μνημονεύῃ φρένας ἔχων καὶ μὴ παντάπασι τετυφωμένος, αἱρήσεται καὶ νῆσον οἰκεῖν φυγὰς γενόμενος Γύαρον ἢ Κίναρον — οὐκ ἀθυμῶν οὐδὲ ὀδυρόμενος οὐδὲ λέγων τὰ τῶν παρὰ Σιμωνίδην γυναικῶν· Ἴσχει κτλ.* Rettuleram ad *τὴν ἐν Σαλαμῖνι ναυμαχίαν*, mulieres Atheniensium Salamina submotas sic lamentari ratus, v. Ed. Maj. fr. VII.

Fr. 66. Plut. Morall. II, 798, B. *Πολλοὶ ἀπὸ τῆς τύχης ἁψάμενοι τῶν κοινῶν καὶ ἀναπλησθέντες οὐκέτι ῥᾳδίως ἀπελθεῖν δύνανται, ταὐτὸ τυῖς ἐμβᾶσιν εἰς πλοῖον αἰώρας χάριν, εἶτ' ἀποσπασθεῖσιν ἐς πέλαγος πεπονθότες, ἔξω βλέπουσι ναυτιῶντες καὶ ταραττόμενοι, μένειν δὲ καὶ χρῆσθαι τοῖς παροῦσιν ἀνάγκην ἔχοντες, Λευκᾶς κτλ.* Simonidi haec vindicabam in Ed. Maj. 172 sq., antea Pindaro tribuebantur, sed v. Boeckh. Frr. Pind. p. 668. Consentit Bergkius, qui parum probabiliter ad hymnum in Neptunum refert, de quo v. Ed. Maj. frr. XXXV. VI. Ego quid suspicatus sim v. in Ed. Maj. l. c.

εὐπρόσωποι σφὰς * παρήϊσαν ἔρωτες
ναΐδος κλαΐδος χαραξιπόντου δαιμονίαν ἐς ὕβριν.

IX. Ἐλεγεῖαι.

* 67. Εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας.

Εἰ δ' ἄρα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος,
δῆμος Ἀθηναίων ἐξετέλεσσα μόνος.

68. Εἰς τὴν ἐν Πλαταιαῖς μάχην.

Μέσσοι δ' οἵ τ' Ἐρύθρην πολυπίδακα ναιετάοντες,
παντοίης ἀρετῆς ἵδριες ἐν πολέμῳ,
οἵ τε πόλιν Γλαύκοιο, Κορίνθιον ἄστυ, νέμοντες

---

2. Vulgo παρήϊσαν (Xylandri codex παρῆσαν) ἔρωτες ναΐας κληΐδος χαράξει πόντου (χαραξιπόντου Xylander). Hermannus παρέπεισαν ἔρωτες ναΐας κλαΐδος πόντου χάραξιν. In Ed. Maj. periclitabar εὐπρόσωπος σφὰς παρακνίξας γέλως ναΐαις κλάδεσσ' ἀράξει π. δ. ἐκ ὕβριν. Bergkius 26. εὐπρόσωποι σφας παράϊσσον (vel παράϊξαν) ἔρωτες ναΐας | κλαΐδος χαραξιπόντου δ. ἐς ὕβριν.

IX. Ἐλεγεῖαι. Fr. 67. Vicit Simonides Aeschylum hac Elegia, v. Vita Aesch. XIV. Dindorf., quod Ol. LXXII, 4. accidisse scribit Marmor Parium. Ex hac Elegia superesse videtur distichon in Scholl. Ven. Arist. Pac. 736. (Εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος | Κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται, | Ἄξιος εἶναι φησ' σὺλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν.) Παρὰ τὰ Σιμωνίδου ἐκ τῶν Ἐλεγείων· Εἰ δ' ἄρα κτλ. *Sin vero, filia Jovis, par est honorari, quisquis optimus, populus Atheniensium effecit* (seu *merui*) *id solus.* Cfr. Exx. Critt. IV, 19.

Fr. 68. Plut. Morall. II, 827, D. Ἀλλὰ Κορινθίους γε καὶ τάξιν, ἣν ἐμάχοντο τοῖς βαρβάροις καὶ τέλος ἡλίκον ὑπῆρξεν αὐτοῖς ἀπὸ τοῦ Πλαταιᾶσιν ἀγῶνος, ἔξεστι Σιμωνίδου πυθέσθαι, γράφοντος ἐν τούτοις· Μέσσοι κτλ. Ταῦτα γὰρ οὐχ οἷον ἐν Κορίνθῳ διδάσκων, οὐδ' ᾄσμα ποιῶν εἰς τὴν πόλιν, ἀλλ' ὡς διὰ τὰς πράξεις ἐκείνας ἐλεγεῖα γράφων ἱστόρηκεν. Herodoto Corinthii pugnae ipsi non interfuere, v. IX, 59. cll. 28. Dissentit Simonides, qui auro Corinthio hoc dedit, ut eximio praeconio eorum virtutem in pugna Plataeensi manifestam mactaret, cfr. ad fr. 46. 1—3. Distinguit poeta inter περικτίονας et Corinthios ipsos.

* οἳ κάλλιστον μάρτυν ἔθεντο πόνων
χρυσοῦ τιμήεντος ἐν αἰθέρι· καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων·
ξεινοδόκων δ' ὤριστος ὁ χρυσὸς ἐν αἰθέρι λάμπων.

69. Παραινετική.

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί·
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
Οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν·
Παῦροι μὴν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
Θνητῶν δ' ὅφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ·

---

4. Ursinus οἳ καὶ κάλλιστον, Turnebus οἳ τῶν κάλλιστον. Reiskio debetur καλλίστων, quod necessarium, si versum 7. recte huc revocavimus. In Ed. Maj. κύκλον καλλίστων μ. ἔ. π. χρυσοῦ τιμήεντος ἐν αἰθέρι dederam. Χρυσοῦ τιμήεντος κύκλον Solem vocavit callidus poeta, ut occurreret suspicionibus eorum, qui ipsum χρυσῷ — cujus epitheton perpetuum τιμήεις addit — ad facinora Corinthiorum praedicanda conductum creparent. Hermannus Zimmerm. Diar. Philoll. 1836, 66. p. 530. οἷον κάλλιστον κτλ. scribendum pro certo ducit. Quod foret poetae de Corinthiorum virtutibus detracturi. Indicaretur enim, unum solum Solem, mortalium neminem, testem earum existere. Nisi καὶ ab Ursino additum esset de conjectura et ipsum illud οἳ ex praegresso versu temere repetitum videretur, ego facile adducerer, ut poetam suspicarer dedisse: οἳ καὶ καλλίστων μ. ἔ. π. χρυσὸν τιμήενθ', ὃς ἐν αἰθέρι. Hermannus non videtur secum perpendisse, quae de necessitate poetam inter et Corinthios in Ed. Maj. exposita sunt. Bacchicas ineptias mitto. 7. Accessit ex Apoll. Lex Hom. v. Ξεννοδόκος. Ἐν τῇ Ὀδυσσείᾳ· (Σ, 63.) Ξεινοδόκος μὲν ἐγώ, ἔδοξέ τισι λέγειν μάρτυρα· φησὶ γοῦν Σιμωνίδης· Ξεινοδόκων δ' ἄριστος ὁ χρ. ἐν αἰθέρι λαμπρός. Recte λάμπων scribitur apud Et. M. 610, 43. aliosque: δ' ὤριστος Brunckius. Dederam γὰρ ἄριστος. De v. ξεινοδόκος, h. e. μάρτυς, v. Boeckh. Fr. Pind. 278.

Eleg. 69. Stob. Flor. XCVIII, 29. Σιμωνίδου. 2. Homerus Il. Z, 146. 4. Vulgo μιν: certatim emendarunt Bergkius, Hermannus, Meinekius.

Οὔτε γὰρ ἐλπὶδ' ἔχει γηρασέμεν οὔτε θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ, φροντίδ' ἔχει καμάτου.
Νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδὲ ἴσασιν,
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

70. Ἔλεγοι εἰς Τίμαρχον.

Αἰ αἰ νοῦσε βαρεῖα, τί δὴ ψυχαῖσι μεγαίρεις
ἀνθρώπων ἐρατῇ πὰρ νεότητι μένειν;
ἦ καὶ Τίμαρχον γλυκερῆς αἰῶνος ἄμερσας
ἠΰθεον, πρὶν ἰδεῖν κουριδίην ἄλοχον.

Φῆ τότε Τίμαρχος, πατρὸς περὶ χεῖρας ἔχοντος,
ἡνίκ' ἀφ' ἱμερτὴν ἔπνεεν ἡλικίην·
Ὦ Τιμηνορίδη, παιδὸς φίλου οὔποτε λήσῃ
οὔτ' ἀρετὴν ποθέων οὔτε σαοφροσύνην.

71. Εἰς Γοργώ.

Ὕστατα δὴ τάδ' ἔειπε φίλην ποτὶ μητέρα Γοργὼ
δακρυόεσσα, δέρης χερσὶν ἐφαπτομένη·

---

11. *νηπίοισι ταύτῃ* A: *νηπυτίοις ταύτῃ* B: *νηπίοις ταύτῃ* vulgo. Emendavit Stephanus. *οὐδὲ ἴσασιν.* Intellige ex *οἷς* *οἳ* cll. Schaefero ad Longum 398. 12. Stephanus *βιότοι' ὀλίγος* prava elisione: *βιοτῆς* Hermannus Zimmerm. Diar. Philoll. 1836, 66. p. 529.

Fr. 70. Anth. Pal. VIII, 513. et 515. *Σιμωνίδου εἰς Τίμαρχον νεώτερον ἐν νόσῳ τελευτήσαντα.* Haec esse Elegiarum frustula docuit Franckius Callino 67 sqq. 5. Libri *ποτε.* Correxit Franckius. Illud novatum, postquam soluta pristina compage pro Epigrammate habitum est. Sed fortasse poeta *Λὴ τότε Τίμαρχος* scripserat. *πατρὸς περὶ χ. ἔχοντος* intellige: *Quum pater amplexatus teneret moribundum.* Improbo Hermanni ap. Zimmerm. l. c. 529. *χερὶ χεῖρας:* nam aut *χερὶ χεῖρα* aut *χέρσὶ χεῖρας* desidero, ut Pindarus ait *χερὶ χειρὸς ἑλὼν, χειρὶ χεῖρ' ἀντερείσαις.*

Fr. 71. Anth. Pal. VII, 647. *Σιμωνίδου· οἱ δὲ Σιμμίου*

Αὖθι μένοις παρὰ πατρὶ, τέκος δ' ἐπὶ λῴονι μοίρῃ
ἄλλην, σῷ πολιῷ γήραϊ κηδεμόνα.

72. Εἰς ναυαγόν.

Ἠερίη Γεράνεια, κακὸν λέπας, ὤφελες Ἴστρον
τῆλε καὶ ἐς Σκυθέων μακρὸν ὁρᾶν Τάναϊν,
μηδὲ πέλας ναίειν Σκειρωνικὸν οἶδμα θαλάσσης
ἄγχεα νιφομένης ἀμφὶ Μολουριάδος.
Νῦν δ' ὁ μὲν ἐν πόντῳ κρυεροὺς νέκυς, οἱ δὲ βαρεῖαν
ναυτιλίην κενεοὶ τῇδε βοῶσι τάφοι.

73. Ἄδηλον.

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

74.

Ὅτι χρόνος ὀξὺς ὀδόντας
Πάντα καταψήχει καὶ τὰ βιωιότατα.

εἰς Γοργώ τινα κόρην τελευτήσασαν. Elegiis lugubribus ego vindicavi. Compara Anytae Elegiam Anth. Pal. VII, 646.

Fr. 72. Anth. Pal. VII, 496: Σιμωνίδου εἴς τινα ναυηγὸν ἐν Γερανείᾳ καὶ ταῖς Σκειρωνίσι πέτραις ναυαγήσαντα. Elegiae lugubris tenorem agnovit Franckius Callino 71 sqq. Imitatur Callimachus Epigr. XVIII. 1. ὤφελεν codex: ὤφελες Salmasius. Fortasse ὤφελ' ἐς. 2. ἐκ Σκυθέων codex: emendavit Heringa. 3. Geraneae nomine comprehendunt fide diguissimi quique scriptores saltus illos flexuosos, qui Megaricam terram perreptant, cfr. Muellerum in Nunc. Litterar. Gotting. 1838, 135. p. 1334. cll. Dorr. II, 432. 4. Codex ἀγνέα νειφομένας ἀμφὶ μὲ θουριάδος. Emendavit Salmasius et Hemsterhusius Lucian. I, 307. Μολουριὰς πέτρα erat promontorium Geraneae.

Fr. 73. Stob. Eclogg. Phys. I, 6, 28. Σιμωνίδης· Ζεὺς κτλ. Compara Philetae fr. 1. Solonis Eleg. fr. 16, 2.

Fr. 74. Stob. Eclogg. Phys. I, 9, 22. Σιμωνίδης· Ὅτι κτλ. 2. Libri καὶ πάντα ψύχει: ψήχει Piersonus, πάντα καταψήχει amicissimi viri Bergkius et Carol. Sintenis. Hermannus Zimmerm. 1836, 66. p. 530. patrocinaturus vulgatae ipsa interpretatione (*tempus dentes et omnia consumit, etiam firmissima*) addita monstrat, quam non apte sic dixisset poeta. Et cavet illud *tempus edax rerum*; unde patet planissime, ὀξὺς ὀδόντας ad χρόνος spectare.

75. 76.

Ἦν ἄρ' ἔπος τόδ' ἀληθὲς, ὅτ' οὐ μόνον ὕδατος αἶσαν,
ἀλλά τι καὶ * λεύχης οἶνος ἔχειν ἐθέλει. —
Οὐ γὰρ ἀπόβλητον Διονύσιον οὐδὲ γίγαρτον.

X. Ἐπιγράμματα.

A. Ἐπικήδεια.

77.

Λίρφυος ἐδμήθημεν ὑπὸ πτυχὶ, σῆμα δ' ἐφ' ἡμῖν
ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται·
οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα
τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.

78.

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

Fr. 75. 76. Ath. I, 32, B. Ἦ γὰρ κτλ. ὁ Κεῖός φησι ποιητής. Exordium videtur esse carminis symposiaci. ἦν ἄρ' Porsonus, quae est usitatissima formula, qua comprobatum aliquid usu et experientia significamus, quod antea incredibile accidisset, v. ad Theogn. 700. 788. Aut igitur sententia illa vulgaris fuit, aut a poeta nescio quo prolata, ad quam respicit Simonides. Cfr. Nicias Milesius in Argum. Theocr. Idyll. IA. Ἦν ἄρ' ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ ἔρωτες Πολλοὺς ποιητὰς ἐδίδαξαν τοὺς πρὶν ἀμούσους. Nimirum tritum est illud Euripidis Melanippae: Ποιητὴν δ' ἄρα Ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν. Ceterum ὅτι οὐ plene B: nota elisum ι. 2. λεύχης libri: λέσχης Casaubonus: eximie χλεύης Bergkius 29. Fr. 76. non cohaeret cum prioribus, qui fortasse et ipsi non sunt Simonidis, sed aliunde petiti. Libri οὐδὲ γάρ: οὐ γὰρ vel οὐδὲν Schweighaeuserus. Homer. Il. Γ, 65. Οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

X. Ἐπιγράμματα. A. Ἐπικήδεια. Epigr. 77. Anth. Plan. 26. Σιμωνίδου. Atheniensium tumulo videtur carmen inscriptum fuisse, qui contra Chalcidenses Euboeae — Dirphys vel Dirphossus mons insulae, Eur. Herc. Fur. 185. — occubuissent, v. Herod. V, 77.

Epigr. 78. Lycurgus Leocr. XXVIII. Aristides II, 380. (511. Dind.) altero versu inepte scribit: ἔκτειναν Μήδων ἐννέα

86.

Οὐκ ἐστὶν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

87.

Ὦ ξένε, εὔυδρόν ποτ' ἐναίομεν ἄστυ Κορίνθου,
νῦν δ' ἅμμ' Αἴαντος νᾶσος ἔχει Σαλαμίς·
ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἐλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδα ῥυόμεθα.

88.

Ἀχμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι·
[δουλοσύνης· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἤψαμεν, ἀργαλέης μνήματα ναυμαχίης·

Epigr. 86. Stob. Eclogg. I, 9, 15. *Σιμωνίδου ἐκ τῶν Ἐπιγραμμάτων* codex Ursini: Heerenii libri *Λακώνων:* unde haec alicui tumulo Lacedaemoniorum militum inscripta fuisse conjeci. Respexisse arbitror Platonem Symp. 184, A. *Ὁ χρόνος δοκεῖ τὰ πολλὰ καλῶς βασανίζειν.* Soph. O. R. 608. *Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος.* Stobaei poeta Floril. I, ll. *Ἤθους δὲ βάσανός ἐστιν ἀνθρώποις χρόνος.*

Epigr. 87. Orat. XXXVII, 459, 25. inter Dioneas: *Ἐν Σαλαμῖνι ἠρίστευσαν οἱ Κορίνθιοι καὶ τῆς νίκης αἴτιοι κατέστησαν· Ἡροδότῳ γὰρ οὐ προσέχω, ἀλλὰ τῷ τάφῳ καὶ τῷ Σιμωνίδῃ, ὃς ἐπέγραψεν ἐπὶ τοῖς νεκροῖς τῶν Κορινθίων τεθαμμένοις ἐν Σαλαμῖνι· Ὦ ξένε κτλ.* Cfr. Prolegg. XXIX. 1. *εὔυδρον*, v. Eleg. fr. 68, 1. Nota et *bimaris Corinthus*. Vel sic tamen *εὔανδρον* desidero. 2. Dio: *Νῦν δὲ μετ' Αἴαντος*, Plutarchus Morall. II, 870, B. *Νῦν δὲ ἀνάματος* v. Emendavit Valckenarius. Jacobsius tentabat: *Νῦν δὲ κατ' Αἴαντος* v. 3. Plutarchus *ἐνθάδε Φοιν. ν. Πέρσας*, cfr. de correpta *ας* syllaba Buttm. Gr. Max. I, 144. 4. Dio *Ἑλλάδ' ἐδρυσάμεθα*, unde Jacobsius *Ἑλλάδα ῥυσάμεθα.*

Epigr. 88. Plutarchus l. c. pergit: *Τὸ δ' ἐν Ἰσθμῷ κενοτάφιον ἐπιγραφὴν ἔχει ταύτην· Ἀχμᾶς κτλ.* Duos priores versus solos praeter Plutarchum etiam afferunt Anth. Pal. VII, 250. Schol. Aristid. 52. Frommel. Unus Aristides II, 380. (512. Dindorf.) apponit reliquos, quos obelo fixi in Ed. Maj. 154 sq. l. *Ἀχμᾶς ἑ. ἐ. ξ.*, cfr. ad Theogn. 557.

ὀστέα δ' ἄμμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ' εὐεργεσίης μνῆμ' ἐπέθηκε τόδε.]

89.

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

90.

Οὗτος Ἀδειμάντου κείνου τάφος, ὃν διὰ πᾶσα
Ἑλλὰς ἐλευθερίας ἀμφέθετο στέφανον.

91.

Ἀμφί τε Βυζάντιον ὅσοι θάνον, ἰχθυόεσσαν
ῥυόμενοι χώραν ἄνδρες ἀρηϊθόοι.

92.

Τῶνδε δι' ἀνθρώπων ἀρετὰν οὐχ ἵκετο καπνὸς
αἰθέρα δαιομένης εὐρυχόρου Τεγέας·
οἳ βούλοντο πόλιν μὲν ἐλευθερίᾳ τεθαλυῖαν
παισὶ λιπεῖν, αὐτοὶ δ' ἐν προμάχοισι πεσεῖν.

93.

Εὐθυμάχων ἀνδρῶν μνασώμεθα, τῶν ὅδε τύμβος,
οἳ θάνον εὔμηλον ῥυόμενοι Τεγέαν

Epigr. 89. Scholl. Aristid. 52. 58. 59. *Σιμωνίδης·* Anth. Pal. VII, 257. *Ἄδηλον εἰς τοὺς Ἀθηναίους προμάχους.* Inscriptum tumulo Atheniensium ad Salamina occisorum.

Epigr. 90. Plut. Morall. II, 870, D. *Αὐτός γε μὴν ὁ Ἀδείμαντος, ᾧ πλεῖστα λοιδορούμενος Ἡρόδοτος* (VIII, 5. 59 sqq. 94, cfr. Prolegg. XXVIII.) *διατελεῖ καὶ λέγων, μοῦνον ἀπαίρειν τῶν στρατηγῶν ὡς φευξόμενον ἀπ' Ἀρτεμισίου καὶ μὴ περιμενοῦντα, σκόπει τίνα δόξαν εἶχεν· Οὗτος κτλ.* Simonidi dant auctor orationis Dioneae l. c. et Anth. Pal. VII, 347.

Epigr. 91. Aristides II, 380. (511. Dindorf.) Videtur pars Epigrammatis insculpti in cenotaphio sociorum, qui in expeditione Pausaniae Ol. LXXV, 4. suscepta occubuerunt, v. Thuc. I, 94. 128.
1. *Βυζάντειον* Scaliger.

Epigr. 92. Anth. Pal. VII, 512. *Σιμωνίδου· εἰς τοὺς Ἕλληνας τοὺς τὴν Τεγέαν ἐλευθεροποιήσαντας.* Cfr. Herod. IX, 35. Paus. III, 11. Mueller. Dorr. I, 188.

Epigr. 93. Anth. Pal. VII, 442. *Σιμωνίδου· εἰς τοὺς ἐν*

αἰχματαὶ πρὸ πόληος, ἵνα σφίσι μὴ καθέληται
Ἑλλὰς ἀποφθιμένου κρατὸς ἐλευθερίαν.

94.

Ἑλλάδι καὶ Μεγαρεῦσιν ἐλεύθερον ἦμαρ ἀέξειν
ἱέμενοι θανάτου μοῖραν ἐδεξάμεθα·
τοὶ μὲν ὑπ' Εὐβοίας ἁλίῳ πάγῳ, ἔνθα καλεῖται
ἁγνᾶς Ἀρτέμιδος τοξοφόρου τέμενος·
τοὶ δ' ἐν ὄρει Μυκάλας, τοὶ δ' ἔμπροσθεν Σαλαμῖνος,
[νηῶν Φοινισσᾶν ἐξολέσαντες Ἄρην,]
τοὶ δὲ καὶ ἐν πεδίῳ Βοιωτίῳ, οἵτινες ἔτλαν
χεῖρας ἐπ' ἀνθρώπους ἱπποµάχους ἱέναι.
Ἀστοὶ δ' ἄµµι τόδε γέρας ὀµφαλῷ ἀµφὶ πόληος
Νισαίων ἔπορον λαοδόκῳ ἀγορᾷ.

95.

Τούσδ' ἀπὸ Τυρρηνῶν ἀκροθίνια Φοίβῳ ἄγοντας
ἓν πέλαγος, µία ναῦς, εἷς τάφος ἐκτέρισεν.

Τεγέᾳ πεσόντας ἀρίστους Ἀθηναίους. Potius scriptum in Tegeatas, qui patriam a Lacedaemoniis fortissime defendissent. 4. *ἀποφθιµένοις κάρτος ἐλευθερίας* Planudes. Hoc dicit poeta: *Meminerimus illorum virorum; ne Graecia a capite defunctorum deripiat libertatem* eosque Lacedaemoniis subditos pro ignavis ducat. Sumpta loquendi ratio ab ea imagine, qua civitates *corona libertatis* cinctae dicuntur. Sic *ἐλευθερία περιτίθεται Ἑλλάδι* Epigr. 82, 3.

Epigr. 94. Boeckh. Corp. Inscr. I, 556. *M* 1051. Repertus titulus Palaeochorio Megaridis. Praemittuntur haec: *Τὸ ἐπίγραµµα τῶν ἐν τῷ Περσικῷ πολέµῳ ἀποθανόντων καὶ κειµένων ἐνταῦθα ἡρώων· ἀπολόµενον δὲ τῷ χρόνῳ Ἑλλάδιος ὁ ἀρχιερεὺς ἐπ'* [εσκεύασε] vel *ἐπ*[εµελήθη]. *Σιµωνίδης*, Exstructum monumentum post pugnam Plataeensem in foro Megarensi, v. Paus. I, 43, 2. 3. Boeckhius *ὑπ' Εὐβοίᾳ ναυσικλύτῳ*. 5. Herod. IX, 102. 6. Supplet Boeckhius. 7. Herod. IX, 20 sqq. 69. 8. *ἱέναι ἱπποµάχους* Bergkius 33. nullo jure. 9. 10. Boeckhius: *Ἀστοὶ δ' ἄµµι* [*πόρον*] *γέρας ὀ. ἀ. π., νικέων ἡµετέρων ἀλλοδαπῶν παρ' ὅρων* ediderat. Quod vestigia lapidis anxie rimatus posui, tulit assensum Boeckhii. Sed fortasse tamen *δαµοδόκῳ ἀγορᾷ* verius scribetur.

Epigr. 95. Anth. Pal. VII, 270. *Σιµωνίδου εἰς ναυηγούς τινας ἐν Τυρρηνίᾳ ναυαγήσαντας.* Iterum apposito epi-

96.

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ' ὃν ἐγὼ νῦν
φρουρῶ, τῷδε τάφῳ λαΐνῳ ἐμβεβαώς.

97.

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ' ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις·
ἢ πατρός τε καὶ ἀνδρὸς ἀδελφῶν τ' οὖσα τυράννων
παίδων τ', οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

98.

Οὗτος Ἀνακρείοντα, τὸν ἄρθμιον εἵνεκα Μουσέων
ὑμνοπόλον, πάτρης τύμβος ἔδεκτο Τέω·
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο·
μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων
ἠέλιον, Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῆϊκα λέλοιπε πόθον·

---

grammati additum lemma: *Σιμωνίδου εἰς τοὺς ἀπὸ Σπάρτης ναυαγήσαντας*, ubi v. 1. *Τούσδε ποτ' ἐκ Σπάρτας* legitur. Tyrannos Siculos conjecimus post devictos Etruscos aliosque barbaros *ἀκροθινίοις* Delphos missis haec inscripsisse.

Epigr. 96. Anth. Pal. VII, 344. *Σιμωνίδου εἰς Λεόντά τινα, ὃν ἐφρούρει λέων μαρμάρινος.* Potius Leonidae tumulo insculptum, v. Herod. VII, 225. Vulgo assutum est distichon supra quam dici potest murcidum hoc:
Ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμὸν οὔνομά τ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

Epigr. 97. Thuc. VI, 59. *Ἱππόκλου τοῦ Λαμψακηνοῦ τυράννου Λἰαντίδῃ τῷ παιδὶ θυγατέρα ἑαυτοῦ μετὰ ταῦτα Ἀρχεδίκην Ἀθηναῖος ὢν Λαμψακηνῷ ἔδωκεν* (Hippias), *αἰσθανόμενος αὐτοὺς μέγα παρὰ βασιλεῖ Δαρείῳ δύνασθαι· καὶ αὐτῆς σῆμα ἐν Λαμψάκῳ ἐστὶν ἐπίγραμμα ἔχον τόδε· Ἀνδρὸς κτλ.* Simonidis nomine versum tertium citat Aristoteles Rhet. I, 9, 31. in exemplum laudis *εἰ ὁ εὐτυχῶν μὲν μέτριος, ὁ δ' ἀτυχῶν μεγαλόψυχος.*

Epigr. 98. Anth. Pal. VII, 25. *Σιμωνίδου εἰς Ἀνακρέοντα τὸν Τήϊον.* 8. *Σμ. Θρῆϊκα πόθον* audacius dixit.

μολπῆς δ' οὐ λήγει μελιτερπέος, ἀλλὰ τὸ κλεινὸν
βάρβιτον οὐδὲ θανὼν εὕκασεν εἰν Ἀΐδῃ.

99.

Μνήσομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ' Ἀρχεναύτεω
κεῖσθαι θανοῦσαν ἀγλαὸν ἄκοιτιν
Ξανθίππην, Περιάνδρου ἀπέκγονον, ὅς ποθ' ὑψιπύργου
σήμαινε λαοῖς τέρμ', ἔχων Κορίνθου.

100.

Σῆμα καταφθιμένοιο Μεγακλέος εὖτ' ἂν ἴδωμαι,
οἰκτείρω σε, τάλαν Καλλία, οἷ' ἔπαθες.

101.

Σῆμα Θεόγνιδος εἰμὶ Σινωπέος, ᾧ μ' ἐπέθηκεν
Λεύκος ἑταιρείης ἀντὶ πολυχρονίου.

102.

Σῶμα μὲν ἀλλοδαπὴ κεύθει κόνις, ἐν δέ σε πόντῳ,
Κλεισθενες, Εὐξείνῳ μοῖρ' ἔκιχεν θανάτου
πλαζόμενον· γλυκεροῦ δὲ μελίφρονος οἴκαδε νόστου
ἤμπλακες οὐδ' ἵκευ Χίον ἐς ἀμφιρύτην.

---

in periphrasi pro eo q. e. τὸν πολυπόθητον Σμερδίην, qui Thrax fuit natione. 9. οὐ λήθη vulgo: οὐ λήθει Pal.: οὐ λῆγεν Suidas v. *Μολπή*: restituit Porsonus. Pal. ἄλλ' ἔτ' ἐκεῖνον, vulgo ἐκεῖνο. Restitui. De Smerdie et Megista v. Bergk. Anacr. fr. VI, 2. XXXIX, 1.

Epigr. 99. Anth. Pal. XIII, 26. *Σιμωνίδου.* 4. τέρμ' ἔχων, ut Anth. Pal. XII, 170. δαίμονες, οἳ φιλίης τέρματ' ἐμῆς ἔχετε. Ut Simon. Amorg. 1, 2. τέλος ἔχει πάντων Ζεύς.

Epigr. 100. Anth. Pal. VII, 511. *Σιμωνίδου· εἰς Μεγακλέα.* Fortasse Elegiae particula.

Epigr. 101. Anth. Pal. VII, 509. *Σιμωνίδου· εἰς Θέογνιν τὸν Σινωπέα.*

Epigr. 102. Anth. Pal. VII, 510. *Σιμωνίδου· εἰς Κλεισθένην ναυηγὸν Χῖον.* 4. ἐπ' Palatinus. In Ed. Maj. correxeram οὐδ' ἵκεις ἐς Χίον ἀμφιρύτην: Bergkius 33. οὐδὲ Χίον ἵκευ ἐς ἀμφιρύτην. Nunc supersedeo mutatione: fetu metrico accedente videtur ῑ potuisse produci, ut in nomine proprio.

103.

Αἰδὼς καὶ Κλεόδημον ἐπὶ προχοῇσι Θεαίρου
ἀενάου στονόεντ' ἤγαγεν εἰς θάνατον
Θρηϊκίῳ κύρσαντα λόχῳ· πατρὸς δὲ κλεεινὸν
Διφίλου αἰχμητὴς υἱὸς ἔθηκ' ὄνομα.

104.

Τῶν αὐτοῦ τις ἕκαστος ἀπολλυμένων ἀτιᾶται·
Νικόδικον δὲ φίλοι καὶ πόλις ἥδε ποθεῖ.

105.

Χαίρει τις, Θεόδωρος ἐπεὶ θάνον· ἄλλος ἐπ' αὐτῷ
χαιρήσει· θανάτῳ πάντες ὀφειλόμεθα.

106.

Ἐνθάδε Πυθώνακτα κασίγνητόν τε κέκευθε
γαῖ', ἐρατῆς ἥβης πρὶν τέλος ἄκρον ἰδεῖν·
μνῆμα δ' ἀποφθιμένοισι πατὴρ Μεγάριστος ἔθηκεν
ἀθάνατον, θνητοῖς παισὶ χαριζόμενος.

107.

Ἄνθρωπ', οὐ Κροίσου λεύσσεις τάφον· ἀλλὰ γὰρ ἀνδρὸς
χερνήτεω· μικρὸς τύμβος, ἐμοὶ δ' ἱκανός·

Epigr. 103. Anth. Pal. VII, 514. *Σιμωνίδου· εἰς Κλεόδημον ὑπὸ Θρᾳκῶν ἀναιρεθέντα [καὶ Κλέεννον] Διφίλου υἱόν·* 3. Codex *κλεεννόν.*

Epigr. 104. Anth. Pal. VII, 302. *Σιμωνίδου· εἰς Νικόδικον.* 2. *ποθεῖ* dedi: Pal. *πολλή*, ab altera manu *πόλη*. Brunckius *Νικοδίκου δὲ φ. κ. π. ἥ. Πόλη.* Planudes *ἥδε κλάει.*

Epigr. 105. Anth. Pal. VII, 105. *Σιμωνίδου.* Fortasse Epigramma joculare. 2. Horat. A. P. 63. *Debemus morti nos nostraque.*

Epigr. 106. Anth. Pal. VII, 300. *Σιμωνίδου· εἰς Πυθώνακτα καὶ τὸν ἀδελφὸν αὐτοῦ.* 2. Fortasse *γῆ.*

Epigr. 107. Anth. Pal. VII, 507. *Εἰς Γόργιππον ἐπιτύμβιον· Σιμωνίδου.*

οὐκ ἐπιδὼν νύμφεια λέχη κατέβην τὸν ἄφυκτον
Γόργιππος ξανθῆς Φερσεφόνης θάλαμον.

108.

Σῆμα τόδε Σπίνθηρι πατὴρ ἐπέθηκε θανόντι.

109.

Κρὴς γενεὰν Βρόταχος Γορτύνιος ἐνθάδε κεῖμαι,
οὐ κατὰ τοῦτ' ἐλθὼν, ἀλλὰ κατ' ἐμπορίαν.

110.

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστὶ σαωτὴρ,
ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν.

111.

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν,
Ζεῖ ξένι', οἱ δ' ὑπὸ γᾶν θέντες ἄναιντο βίου.

112.

Ἦ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ
ἴσχω ἔτι τρομέειν θῆρας, ἀγρῶστι Λυκᾶς·
τὰν δ' ἀρετὰν οἶδεν μέγα Πάλιον ἄ τ' ἀϊδαλος
Ὄσσα, Κιθαιρῶνός τ' οἰονόμοι σκοπιαί,

Epigr. 108. Anth. Pal. VII, 177. Σιμωνίδου.

Epigr. 109. Nott. Critt. Anth. Pal. VII, 254. Εἰς Βρόταχον· Σιμωνίδου.

Epigr. 110. Anth. Pal. VII, 77. Εἰς Σιμωνίδην· Σιμωνίδου. Cfr. Scholl. Aristid. 201. Frommel. Rem ipsam, de qua sermo, enarrat Cicero Divin. I, 27. II, 66. Valer. Max. I, 7. cll. Libanio IV, 1101. Rsk., qui accidisse id narrat quum Simonides Tarento in Siciliam esset navigaturus.

Epigr. 111. Ibidem, cll. VII, 516. Ab altera parte columnae a poeta dedicatae insculptum fuerit.

Epigr. 112. Pollux V, 47. Ἔνδοξον Λυκάδα τὴν Θετταλὴν Σιμωνίδης ἐποίησε, γράψας τοῦτο τοὐπίγραμμα ἐπὶ τῷ τάφῳ τῆς κυνός· Ἦ σεῦ κτλ. 2. Libri ἄγρωσσα: correxit Schneiderus, v. Lobeck. Parall. 267. 3. ἀϊδαλος, Buttm. Lexil. I, 255.

113.

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κἀκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

B. Ἀναθηματικά.

114.

Ἦ μέγ' Ἀθηναίοισι φόως γένευθ', ἡνίκ' Ἀριστογείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος.

115.

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' ἀνέθεν.

116.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ' Ἀθηναίων στήσατο Μιλτιάδης.

Epigr. 113. Athen. X, 415, F. *Τιμοκρέων ὁ Ῥόδιος ποιητὴς καὶ ἀθλητὴς πένταθλος ἐνέφαγε καὶ ἔπιεν, ὡς τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα δηλοῖ· Πολλὰ κτλ.* Est lusus poetae Cei (v. Anth. Pal. VII, 348. cll. 349.) in molestissimum eundemque dicacissimum adversarium, v. ad Timocreontis carmina et Prolegg. Ed. Maj. XVIII.

B. *Ἀναθηματικά.* **Epigr. 114.** Hephaestio 26. *Πᾶν μέτρον εἰς τελείαν περατοῦται λέξιν, ὅθεν ἐπίληπτά ἐστι τὰ τοιαῦτα Σιμωνίδου ἐκ τῶν Ἐπιγραμμάτων· Ἦ κτλ.* Cfr. Prolegg. IX.

Epigr. 115. Herod. V, 77. *Τῶν λίτρων τὴν δεκάτην ἀνέθηκαν ποιησάμενοι τέθριππον χάλκεον· τὸ δὲ ἀριστερῆς χερὸς ἔστηκε πρῶτον ἐσιόντι ἐς τὰ προπύλαια τὰ ἐν τῇ ἀκροπόλι· ἐπιγέγραπται δέ οἱ τάδε· Ἔθνεα κτλ.* Cfr. Epigr. 77. Paus. I, 28, 2. Simonidi vindicavi ex testimonio Aristidis II, 380. (512. Dindorf.) 4. Vulgo ἔθεσαν: codex ἀνέθεσαν. Hinc ἄνεθεν restitui, de qua forma v. Epigr. 117, 2.

Epigr. 116. Anth. Planud. 232. *Σιμωνίδου.* Cfr. Herod. VI, 105. Lucian. Dial. Deor. XXII, 3.

117.

Ταῦτ' ἀπὸ δυσμενέων Μήδων ναῦται Διοδώρου
ὅπλ' ἀνέθεν Λατοῖ μνάματα ναυμαχίας.

118.

Μνᾶμά τ' ἀλεξάνδρου πολέμου καὶ μάρτυρα νίκας
Δελφοί με στᾶσαν Ζανὶ χαριζόμενοι,
σὺν Φοίβῳ πτολίπορθον ἀπωσάμενοι στίχα Μήδων
καὶ χαλκοστέφανον ῥυσάμενοι τέμενος.

119.

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίας ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίᾳ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

120.

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε παρ Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει.

Epigr. 117. Plut. Morall. II, 870, F. *Διοδώρου τινος τῶν Κορινθίων τριηραρχῶν ἐν ἱερῷ Λητοῦς ἀναθήμασι κειμένοις καὶ τοῦτο ἐπιγέγραπται· Ταῦτ', κτλ.* 2. Libri *ἀνέθεντο*: correxit Blomfieldius et Boeckhius. Cfr. Epigr. 116, 4. Baum. Gr. Max. I, 530. Arma dedicata Latonae post praelium ad Artemisium.

Epigr. 118. Diod. Sic. XI, 114. *Οἱ Δελφοὶ τῆς τῶν θεῶν ἐπιφανείας ἀθάνατον ὑπόμνημα καταλιπεῖν τοῖς μεταγενεστέροις βουλόμενοι τρόπαιον ἔστησαν παρὰ τὸ τῆς Προναίας Ἀθηνᾶς ἱερόν, ἐν τῷ τόδε τὸ ἐλεγεῖον ἐνέγραψαν· Μνᾶμα κτλ.* Cfr. Herod. VIII, 35 sqq. Non diserte tribuitur Simonidi: cujus tamen esse quovis pignore certem.

Epigr. 119. Plut. Morall. II, 867, E. *Ἔχει οὕτω τὸ ἐπίγραμμα* (quod insculptum erat in columna juxta templum *Ἀρτέμιδος Προσηώας*, cfr. Plut. Themistocl. VIII.)· *Παντοδαπῶν κτλ.* Nec hoc dubitavi auctori suo reddere.

Epigr. 120. Plut. Morall. II, 869, C. *Δημοκρίτου* (*τοῦ Ναξίου*) *κατόρθωμα καὶ τὴν ἀριστείαν ἐπιγράμματι Σιμωνίδης ἐδήλωσε· Δημόκριτος κτλ.* Cfr. Herod. VIII, 46.

πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ' ὑπὸ χειρῶν
ῥύσατο βαρβαρικῶν Δωρὶδ' ἁλισκομένην.

121.

Αἰὸς ὑπὲρ Ἑλλήνων τε καὶ εὐθυμάχων παλιητᾶν
ἕστασαν εὐχόμεναι Κύπριδι δαιμονίᾳ·
οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν πρυδόμεν.

122.

Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ' ἀνέθηκαν,
δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

---

3. χεῖρα — βαρβαρικόν (codd. BE βαρβαρικήν) vulgo: ἀπὸ χειρῶν — βαρβαρικῶν Reiskius, quod suscepimus servato ὑπό.

Epigr. 121. Theopompus Ath. XIII, 573, C. Νόμιμόν ἐστιν ἀρχαῖον ἐν Κορίνθῳ, ὅταν ἡ πόλις εὔχηται περὶ μεγάλων τῇ Ἀφροδίτῃ, συμπαραλαμβάνεσθαι πρὸς τὴν ἱκετείαν τὰς ἑταίρας ὡς πλείστας καὶ ταύτας προσεύχεσθαι τῇ θεῷ καὶ ὕστερον ἐπὶ τοῖς ἱεροῖς παρεῖναι. Καὶ ὅτε δὴ ἐπὶ τὴν Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ Πέρσης, αἱ Κορίνθιαι ἑταῖραι ηὔξαντο ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας εἰς τὸν τῆς Ἀφροδίτης ἐλθοῦσαι νεών· διὸ καὶ Σιμωνίδης ἀναθέντων τῶν Κορινθίων πίνακα τῇ θεῷ τὸν ἔτι καὶ νῦν διαμένοντα καὶ τὰς ἑταίρας ἰδίᾳ γραψάντων τὰς τότε παρησαμένας τὴν ἱκετείαν καὶ ὕστερον παρούσας συνέθηκε τόδε τὸ ἐπίγραμμα· Αἰὸς κτλ. Cfr. Plut. Morall. II, 871, B. Schol. Pind. Ol. XIII, 32. Boeckh. Frr. Pind. 611. Prolegg. Ed. Maj. XXVIII. 2. Sic Scholiasta Pindari: ἕσταθεν εὐξάμεναι Plutarchus; ἕσταθεν εὔχεσθαι Athenaeus. Pessime: nam non statuae positae erant, sed picta tabula dedicata. δαιμόνται Plutarchus; Lobeck. Parall. 361. δαμοσίᾳ. At δαιμονίᾳ, utut insolens, verum esse patet ex γὰρ particula versus sq. Praeterea aptius foret δαμοσίᾳ, si ἕσταθεν sincera scriptura esset. Id secus est. 4. Πέρσαις Athenaeus. Nota μήσατο — Μήδοις.

Epigr. 122. Diod. Sic. XI, 33. Οἱ Ἕλληνες ἐκ τῶν λαφύρων δεκάτην ἐξελόμενοι κατεσκεύασαν χρυσοῦν τρίποδα καὶ ἀνέθηκαν εἰς Δελφοὺς ἐπιγράψαντες ἐλεγεῖον τόδε· Ἑλλάδος κτλ. Simonidem haec scripsisse apertum est. Et praecedunt quae expresse ad illum referuntur Epigrr. 79. 80.

123.

Φαμὶ Γέλων', Ἱέρωνα, Πολύζαλον, Θρασύβουλον,
παῖδας Δεινομένευς, τὸν τρίποδ' ἀνθέμεναι,
βάρβαρα νικάσαντας ἔθνη· πολλὰν δὲ παρασχεῖν
σύμμαχον Ἕλλασιν χεῖρ' ἐς ἐλευθερίαν.

124.

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Παυσανίας, Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.

125.

Τόνδε ποθ' Ἕλληνες νίκης κράτει, ἔργῳ Ἄρηος,
εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου.

Epigr. 123. Anth. Pal. VI, 214. *Ἀνάθημα Σιμωνίδου.* Post victoriam Himerensem Ol. LXXV, 1. a filiis Dinomenis reportatam tripodi inscriptum, quem Apollini Pythio dedicarunt, v. Scholl. Pind. Pyth. I, 155. Diod. Sic. XI, 26. Athen. VI, 231, F. Post prius distichum Anthologia interponit hoc:

Ἐξ ἑκατὸν λιτρῶν καὶ πεντήκοντα ταλάντων
Δαρετίου χρυσοῦ, τᾶς δεκάτας δεκάταν.

Omissum autem est ultimum distichum, quod est in Scholis Pindari. Conflata haec de sententia Bentleji: quod cur fieri nequeat explanatum est in Ed. Maj. 183 sqq. 3. Confer Herod. VII, 166. Diod. Sic. XI, 20.

Epigr. 124. Thuc. I, 134. *Ὁ Παυσανίας ἐπὶ τὸν τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ τὸ ἐλεγεῖον τόδε· Ἑλλάνων κτλ.* Simonidi vindicat Paus. III, 8, 1. Ceterum Anth. Pal. VI, 197. *ὤλεσα* et *ἀνέθηκα.*

Epigr. 125. Plut. Morall. II, 873, B. *Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι τῷ βωμῷ τὸ ἐπίγραμμα τοῦτο γράφοντες ἐνεχάραξαν· Τόνδε κτλ.* Cfr. Aristid. XIX. Paus. IX, 2, 4. Anth. Pal. VI, 50. 1. Ediderant *νίκης κρατεῖ ἔργῳ Ἄρηος:* at *κρατὺς* non *κρατεῖ* restituit. Monuit Doederleinius 229., qui cum *νίκης κράτος* componit *σθένος νίκης* Soph. Trach. 497. cll. 186. Oed. Col. 1088. In Anth. Pal. est *ῥώμῃ χερός.* 3. Anthologia *ἐλεύθερον Ἑ. νόσμον:* perperam.

126.

Τύξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος
νηῷ Ἀθηναίης κεῖται ὑποῤῥόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαΐ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

127.

Οὕτω τοι, μελία ταναά, ποτὶ κίονα μακρὸν
ἧσο, Πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά·
ἤδη γὰρ χαλκός τε γέρων αὐτά τε τέτρυσαι
πυκνὰ κραδαινομένα δαΐῳ ἐν πολέμῳ.

128.

Ἑξ ἐπὶ πεντήκοντα, Σιμωνίδη, ἤραο ταύρους
καὶ τρίποδας, πρὶν τόνδ' ἀνθέμεναι πίνακα·
τοσσάκι δ' ἱμερόεντα διδαξάμενος χορὸν ἀνδρῶν
εὐδόξου Νίκας ἀγλαὸν ἅρμ' ἐπέβης.

129.

Ἦρχεν Ἀδειμάντος μὲν Ἀθηναίοις, ὅτ' ἐνίκα
Ἀντιοχὶς φυλὴ δαιδάλεον τρίποδα·

Epigr. 126. Anth. Pal. VI, 2. *Σιμωνίδου· ἐπὶ τόξοις ἀνατεθεῖσιν ἐν τῷ τῆς Ἀθηνᾶς ναῷ.* 2. *ὑποῤῥόφια* Pal. Vulgo *ὑπωρόφια*, v. Lobeck. Phryn. 706. 4. Theocr. XXII, 171.

Epigr. 127. Anth. Pal. VI, 52. *Ἀνάθημα τῷ Διὶ παρὰ στρατιώτου· Σιμωνίδου.*

Epigr. 128. Anth. Pal. VI, 213. *Ἀνάθημα Σιμωνίδου*, Inscriptum tabulae votivae a poeta suspensae. Memorat victorias in certaminibus dithyrambicis reportatas quinquaginta sex. 1. *Σιμωνίδης* Pal. Unde quidam *Σιμώνιδες* scripsere, sed v. Lobeck. Parall. I, 182. *ταύρους*, v. Pind. Ol. XIII, 24. 3. *διδαξάμενος*, *sibi docuerat*, v. Hermann. Arist. Nubb. 782. Schaefer. Long. 346. Perperam Rankius meus Vit. Aristoph. CXL, *Significare videtur, non ipsum, sed ejus loco alium quendam docuisse.*

Epigr. 129. Max. Planudes Walz. V, 543. *Ὁ Σιμωνίδης πάσης ἐπιστήμων ποιητικῆς καὶ μουσικῆς ὑπῆρχεν, ὡς ἐκ νεότητος ἄχρι γήρως ἐν τοῖς ἀγῶσι νικᾷν· ὡς καὶ τὸ ἐπίγραμμα δηλοῖ· Ἦρχεν κτλ.* Cfr. Exx. Crit. X, 62. Reportata victoria Olymp. LXXV, 4. quo anno Simonides ad Hieronem se

Ξεινοφίλου δ' ἓξ υἱὸς Ἀριστείδης ἐχορήγει
πεντήκοντ' ἀνδρῶν καλὰ μαθόντι χορῷ·
ἀμφὶ διδασκαλίᾳ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
ὀγδωκονταέτει παιδὶ Λεωπρεπέος.

130.

Μνήμην δ' οὔτινά φημι Σιμωνίδῃ ἰσοφαρίζειν
ὀγδωκονταέτει παιδὶ Λεωπρεπέος.

131.

Πολλάκι δὴ φυλῆς Ἀκαμαντίδος ἐν χοροῖσιν Ὧραι
ἀνωλόλυξαν κισσοφόροις ἐπὶ διθυράμβοις·
αἱ Διονυσιάδες, μίτραισι δὲ καὶ ῥόδων ἀώτοις
σοφῶν ἀοιδῶν ἐσχίασαν λιπαρὰν ἔθειραν,
οἳ τόνδε τρίποδα σφίσι μάρτυρα Βακχίων ἀέθλων
ἔθηκαν· * κεἶνους δ' Ἀντιγένης ἐδίδαξεν ἄνδρας.

---

contulit Syracusas. Vide Boeckh. Oecon. Ath. I, 485 sqq. 3. δέ τις υἱὸς libri. Correxi. De Xenophili filio Aristide v. Plut. Aristid. I. 5. 6. Plut. Morall. II, 785, A.

Epigr. 130. Aristides II, 379. (510. Dindorf.) Ἐτόλμησε Σιμωνίδης εἰπεῖν· Μνήμην — ἰσοφαρίζειν· τουτὶ γὰρ οὐχ ἕτερος δήπου περὶ τοῦ Σιμωνίδου λέγει, ἀλλ' αὐτὸς εἰς ἑαυτὸν πεποίηκεν· ἵνα δὲ μὴ δόξῃ νέος ὢν ἔτι καὶ ὡραϊζόμενος λέγειν, τἆλλα προστίθησιν· Ὀγδωκοντα ἐτεϊ κτλ. Non Epigramma, sed Elegiae particula esse videtur. 1. μνήμην duo libri, v. Il. Z, 101. Notum est, perhiberi Simonidem vel artem memoriae invenisse, v. Prolegg. XI sqq. Id ex hoc loco liberalius ductum suspicatus sum in Ed. Maj. Jam intellexi, ad eandem fere sententiam redire disputationem venerabilis senis, C. Morgensternii, qui de *Arte Veterum Mnemonica* scriptionem Dorpati MDCCCXXXV. editam perhumaniter nuper ad me misit. Locis in Ed. Maj. allatis addo Cic. Tusc. Disp. I, 24, 59. Longinum (vulgo *Apsinem*) 718. (cll. Spengel. Συναγ. τεχν. II.) Ἤδη δὲ καὶ Σιμωνίδης καὶ πλείους μετ' ἐκεῖνον μνήμης ὁδοὺς προὐδίδαξαν εἰδώλων παράθεσιν καὶ τόπων εἰσηγούμενοι πρὸς τὸ μνημονεύειν ἔχειν ὀνομάτων τε καὶ ῥημάτων.

Epigr. 131. Anth. Pal. XIII, 28. Βακχυλίδου ἢ Σιμωνίδου. At Steph. Byz. s. v. Ἀκαμάντων· ἐκαλεῖτο καὶ φυλὴ Ἀκαμαντὶς τῆς Ἀττικῆς, ἧς Σιμωνίδης. 1 sqq. *Ambierunt coronam Bacchicam saepe jam chori cyclii Acamantidis tribus: reportarunt hi dignum periti cantores.* 4. ἐσκίασαν, Simonid. Amorg. 7, 66. 6. θῆκαν· κεἶνους Bentleius. At deside-

Εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὅπα Δωριοις Ἀρίστων
Ἀργεῖος, ἡδὺ πνεῦμα χέων καθαροῖς ἐν αὐλοῖς·
τῶν ἐχορήγησεν κύκλον μελίγηρυν Ἱππόνικος,
Στρούθωνος υἱός, ἅρμασιν ἐν Χαρίτων φορηθείς,
αἳ οἱ ἐπ' ἀνθρώπους ὄνομα κλυτὸν ἀγλαάν τε νίκαν.
ἕκατι Μοισᾶν θῆκαν, ἰοστεφάνων θεάων.]

132.

Γνῶθι Θεόγνητον προσιδὼν τὸν Ὀλυμπιονίκαν
παῖδα, παλαισμοσύνας δεξιὸν ἀνίοχον,
ἄλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ' οὐ χείρονα μορφᾶς,
ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

133.

Στροίβου παῖ, τόδ' ἄγαλμα, Λεώκρατες, εὖτ' ἀνέθηκας
Ἑρμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας,
οὐδ' Ἀκαδημείαν πολυγηθέα, τῆς ἐν ἀγοστῷ
σὴν εὐεργεσίαν τῷ προσιόντι λέγω.

---

atur vel patris memoria vel, si non Atticus fuit Antigenes, patriae. linc conjeci ἄνθεντο vel θήκαντο· Κεῖος δ' Α. scribendum sse. Bergkius Comm. Com. Att. 83. ἔθηκαν· εὔνους posuit, uod nequit ullo pacto probari. 7. De tibicinibus Argivis periissimis artis suae, v. Paus. IV, 27, 4. Mueller. Dorr. II, 332. 11. 12. Cur damnem ratione exposui in Ed. Maj. 12. Corrigunt arie: optime Mehlhornius ἕκατι Μοισᾶν θῆκαν ἰοστ. θεάων. lodo correctione res transigi posset.

Epigr. 132. Anth. Plan. 2. Σιμωνίδου. 1. Θεόκριτον ulgo: Θεόχρηστον V. D. in Mus. Crit. Cantabr. VI, 313. cll. 'aus. VI, 12, 3. At id ob victorias ibi memoratas curules fieri equit. Restitui Θεόγνητον ex Paus. VI, 9, 1. Θεογνήτῳ ἐξ Αἰγινήτη πάλης μὲν στέφανον λαβεῖν ὑπῆρξεν ἐν παισὶν· τὸν δὲ ἀνδριάντα οἱ Πτόλιχος ἐποίησεν Αἰγινήτης. Cfr. ind. Pyth. VIII, 35. Mueller. Aegin. 103. 2. ἀνίοχον, Pind. em. VI, 69. cum Intpp. 3. Isthm. VI, 29.

Epigr. 133. Anth. Pal. VI, 144. Ἀνάθημα τῷ Ἑρμῇ παρὰ Λεωκράτους. Σιμωνίδου. Eundem Leocratem poeta epinio celebraverat, v. fr. XXI. ed. maj. Confer Thuc. I, 105. ergk. Comm. Com. Att. 57. 3. Ἀκαδημίαν, Hermann. Ar. ubb. 1003.

134.

Πατρίδα κυδαίνων ἱερὰν πόλιν Ὄλπις Ἀθάνας
τέκνον μελαίνης γῆς χαρίεντας αὐλοὺς
τούσδε σὺν Ἡφαίστῳ τελέσας ἀνέθηκ' Ἀφροδίτῃ,
καλοῦ δαμασθεὶς ἱμέρῳ Βρύσωνος.

135.

Ἀργεῖος Ἀνδὴς σταδιοδρόμος ἐνθάδε κεῖται,
νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλείσας·
Ὀλυμπίᾳ δὶς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμοῖ, πεντεκαίδεκα Νεμέᾳ·
τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.

136.

Πατρὶς μὲν Κόρκυρα, Φίλων δ' ὄνομ', εἰμὶ δὲ Γλαύκου
υἱὸς καὶ νικῶ πὺξ δύ' Ὀλυμπιάδας.

137.

Ἴσθμια καὶ Πυθοῖ Λιοτῷν ὁ Φίλωνος ἐνίκα
ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

Epigr. 134. Anth. Pal. XIII, 20. *Σιμωνίδου.* 2. *τέκνον μελαίνης γῆς* ad *αὐλοὺς* rettuleram, quos ex arundine compactos poeta lepide appellavisset. Bergkius 34. ad *Ὄλπις* adjecta ratus interpretatur in laudem *τῆς αὐτοχθονίας*, Atticis maximam. Non credo.

Epigr. 135. Anth. Pal. XIII, 14. *Σιμωνίδου.* Vicerat Dandes, cujus statuae haec subscripta, Olympia Ol. LXXVII., v. Diod. Sic. XI, 53. 4. *Ἰσθμοῖ* codex: v. Schaefer. Greg. Cor. 369. Fortasse *Ἰσθμῷ. πεντεκαίδεκ' ἐκ νεμαία* codex: Bruncius *πεντεκαίδεκ' ἐν Νεμέᾳ*, Gaisfordius *πεντέδεκ' ἐν Νεμέᾳ.*

Epigr. 136. Paus. VI, 9, 3. *Παρὰ τοῦ Γέλωνος τὸ ἅρμα ἀνάκειται Φίλων, τέχνη τοῦ Λιγινήτου Γλαυκίου· τούτῳ τῷ Φίλωνι Σιμωνίδης ὁ Λεωπρέπους ἐλεγεῖον δεξιώτατον ἐποίησε· Πατρὶς κτλ.* Cfr. VI, 14, 5. Christodor. Ecphr. 229 sqq.

Epigr. 137. Anth. Plan. 3. *Σιμωνίδου.* Ordo certaminum quinquertii idem videtur servatus a poeta, qui vulgo erat, v. Intpp. Pind. Nem. VII. Epigramma in Scholl. Plat. 384. Bekker. *Πένταθλος οὗτος τοῖς νέοις ἀγωνία, Πάλη, σίγυννος, ἅλμα, δίσκος καὶ δρόμος.*

138.

Εἰπὸν τίς; τίνος ἐσσὶ, τίνος πατρίδος, τί δὲ νικᾷς;
Κασμύλος, Εὐαγόρου, Πύθια πὺξ, Ῥόδιος.

139.

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος ὅσπερ ἐνίκα
ἐν Δελφοῖς ποτε Νικολάδας,
καὶ Παναθηναίοις στεφάνους λάβε πέντ' ἐπ' ἀέθλοις
ἑξῆς, ἀμφιφορεῖς ἐλαίου·
Ἰσθμῷ δ' ἐν ζαθέᾳ πρὸς ἑπισχερὼ οἶδεν ἑλόντα
ἀκτὰ Ποντομέδοντος ἄθλα·
καὶ Νεμέᾳ τρὶς ἐνίκασεν καὶ τετράκις ἄλλα
Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,
καὶ Τεγέᾳ καὶ ἐν Αἰγίνᾳ κρατερᾷ τ' Ἐπιδαύρῳ,
καὶ Θήβᾳ Μεγάρων τε δάμῳ·
ἐν δὲ Φλιοῦντι σταδίῳ τά τε πέντε κρατήσας
ηὔφρανεν μεγάλαν Κόρινθον.

140.

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὃς ποτὶ Πίσῃ
ἑπτάκι νικήσας ἐς γόνατ' οὐκ ἔπεσεν.

Epigr. 138. Anth. Plan. 23. *Σιμωνίδου.* 1. Vulgo *νικῇς:* Ursinus *νικᾶς:* ego *νικᾷς.* Doederleinius 227. desiderat *ἐνίκας.* Verum *νικᾶν* est *victorem esse.*

Epigr. 139. Anth. Pal. XIII, 19. *Σιμωνίδου.* 4. Codex *ἑξήκοντα ἀμφ.:* correxit Salmasius. *πέντ' ἐπ' ἀ. ἑ.* intellige *quinquertio*, ut v. 11. 5. *Ἡ Ἰσθμὸς* dicit Simonides, ut Pindarus. Codex *οὐδ' ἐγένοντο ἀκτίνων τομίδων ποταθμοί:* Jacobsius *ἄλλ' ἐγένοντο ἀκτῇ Ποντομέδοντος ἄθλα.* Nos ad ductus codicis accuratius emendavimus. 9. Codex *Νεμέᾳ':* correxit Brunckius. 11. *Phliunte vicit stadio et quinquertio.* Sic Codex: vulgo ex pessima Reiskii hariolatione *ἐν δὲ Φλιουντείῳ στ.*

Epigr. 140. Anth. Plan. 24. *Σιμωνίδου.* De victoriis Milonis Crotoniatae Paus. VI, 14, 2. 1. Legebatur *ὅς ποτε,* quod absonum. *Πίσης* est rivulus Olympiae, de quo v. Xenophanis Eleg. fr. 2, 3. 21.

141.

Ἀρτέμιδος τόδ' ἄγαλμα· διηκόσιαι γὰρ ὁ μισθὸς
δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημα τράχος·
ἀσκητὸς δ' ἐποίησεν Ἀθηναίης παλάμῃσιν
ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

142.

Κρὴς Ἄλκων Δι[δυμεῖ] Φοίβῳ στέφος Ἴσθμι' ἑλὼν πύξ.

143.

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱὸς περθομέναν Ἰλίου ἀκρόπολιν.

144.

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν·
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

145.

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος· οὐκ ἔνι μῶμος
χερσὶν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

146.

Πρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν
ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέαν ἔφερον.

Epigr. 141. Diog. Laert. IV, 6, 21. *Ἀρκεσίλαος ἀγαλματοποιὸς, εἰς ὃν καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα τοῦτ' Ἀρτέμιδος κτλ.* 1. Fortasse scripsit poeta: *Ἀ. τ. ἄγαλμα διηκόσιαι πόρ' ὁ μ.* 2. Scripserat *δραχμαῖαι Πάριαι*, sed cautiorem fecit Lobeckius Parall. 310 sqq. *τῶν ἐπίσημα τράγος*; Heynius: libri *τῶν' ἐπίσημ' Ἄρατος.* 4. Concise dixit pro *υἱὸς Ἀριστοδίκου, ἄξιος πατρός.*

Epigr. 142. Codex Pal. apud Huschk. Anall. Critt. 198. *Σιμωνίδου.* Alii *Δι[δύμοις]* perperam supplent.

Epigr. 143. Paus. X, 27. fin. *Κατὰ τοῦτο τῆς γραφῆς καὶ ἐλεγεῖόν ἐστι τοῦ Σιμωνίδου· Γράψε κτλ.*

Epigr. 144. Anth. Pal. IX, 758. *Εἰς θύρας. Σιμωνίδου.*

Epigr. 145. Anth. Pal. IX, 757. Simonidi tribuit Planudes. 2. *Opinione pulchriora ipsius opera.*

Epigr. 146. Aristot. Rhet. I, 7, 32. *Τὸ ἐπίγραμμα τῷ*

147.

Φοῖβος ἐξάγηταί [ποτε] Τυνδαρίδαισιν ἀοιδάς,
τᾶν ἄμετροι τέττιγες ἐπιστέψαντα χορωνῶ.

148.

Τήν ῥά ποτ' Ὀλύμπιον περὶ πλεύρας ἐκάλυψεν
ὀξὺς ἀπὸ Θρῄκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ' ἀχλαίων ἔδακε φρένας, αὐτὰρ ἐθάρθη
ζωή, Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χείτω μέρος· οὐ γὰρ ἔοικε
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

149.

Οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

Ὀλυμπιονίκῃ· Πρόσθε κτλ. Simonidi tribuit Aristophanes Gramm. Eustath. Odyss. 1761, 24.

Epigr. 147. Athen. XV, 680, D. *Ἀπίων φησὶ τὸν στέφανον πάλαι χορωνὸν καλούμενον ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι αὐτούς τε περικείμενους καὶ ἐπὶ τὸν στέφανον ἀγωνιζομένους, καθὼς ἐν τοῖς Σιμωνίδου Ἐπιγράμμασίν ἐστιν οὕτω καλουμένου Φοίβος κτλ.* Non verum hoc Epigramma, sed *αποσχεδίασμα* in aemulos poetas, qui sunt *ἄμετροι τέττιγες*. 1. Vulgo *ἐξαγέται*, recte Steph. Urs. *[ποτε] Τυνδαρίδαισιν ἀοιδάς* scripsi: vulgo *Τυνδαριδῆσιν ἀοιδῆσαν* et 2. vulgo *ἂν ἄμ. τέττ.* Sic intellige: *Apollo* (ipse) *interdum* aliquando *carmina in honorem Tyndaridarum, quorum carminum corona indocti cantores sē coronarunt.* Popularis videtur Spartanorum fuisse fama, deum ipsum, cum cujus religione Dioscuri conjunctissimi, antiquitus hymnorum in Dioscuros auctorem fuisse; et Alcman *καὶ αὐτὸν τὸν θεὸν* (citharae et tibiae inventorem) *φησιν αὐλῆσαι*, fr. XXXVIII. Cfr. Tibull. II, 5, 9. Exx. Critt. IV, 18.

Epigr. 148. Athen. III, 125, C. *Ἑστιώμενος παρά τινι Σιμωνίδης ὁ ποιητὴς κραιπαλοῦ καύματος ὥρᾳ καὶ τῶν οἰνοχόων τοῖς ἄλλοις μισγόντων εἰς τὸ ποτὸν χιόνος, αὐτῷ δὲ οὔ, ἀπεσχεδίασε τόδε τὸ ἐπίγραμμα· Τήν ῥά ποτ κτλ.* In Thessalorum tyrannorum compotatione conjecit V. Prolegg. X. 1. *τῇ* Casaubonus. 2. Valckenarius *ὀξύς*: libri *ὠκύς*. 3. Libri *ἐκάμφθη*: emendavit Porsonus Eur. Phoen. 884.

Epigr. 149. Athen. XIV, 656, C. *Περὶ λαγῶν Χαμαιλέων*

150.

Μοῦσά μοι Ἀλκμήνης καλλίσφυρον υἱὸν ἄεισδε·
Υἱὸν Ἀλκμήνης ἄεισδε Μοῦσά μοι καλλίσφυρον.

151.

Μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

152.

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

λέων φησὶν ἐν τῷ περὶ Σιμωνίδου, ὡς δειπνῶν παρὰ τῷ Ἱέρωνι ὁ Σιμωνίδης οὐ παρατεθέντος αὐτῷ ἐπὶ τὴν τράπεζαν, καθάπερ καὶ τοῖς ἄλλοις λαγωοῦ, ἀλλ' ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος, ἀπεσχεδίασεν· Οὐδὲ κτλ. Cfr. Il. O, 33.

Epigr. 150. Anth. Pal. XIII, 30. *Σιμωνίδου.* Reposuit Timocreon Rhodius ea quae sunt Timocr. fr. 4. Codex *καλλίσφυρον* bis. Quod servandum ratus sum. Vulgo *καλλισφύρου.* Quid sibi vellet hic lusus extricare conabar in Ed. Maj. Sed res non sat aperta.

Epigr. 151. Athen. X, 456, C. *Γριφώδη ἔστι καὶ Σμωνίδη ταῦτα πεποιημένα, ὡς φησι Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ περὶ Σιμωνίδου· Μιξ.* κτλ. Post futiles explicationes quasdam haec additur verior: *οἱ δέ φασιν, ἐν Ἰουλίδι τὸν τῷ Διονύσῳ θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει· πλησίον δὲ τῆς ἑορτῆς οὔσης εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν· τὸν οὖν Σιμωνίδην ἔτι νέον ὄντα βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν· ἰδόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον εἰκῇ κείμενον καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, οὕτως ἐλθόντα εἰπεῖν πρὸς τοὺς συνήθεις τὸ πρυειρημένον πρόβλημα· τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα τὸν ἀσκὸν εἶναι· σχέτλιον δὲ ἰχθὺν τὸν καρκίνον· νυκτὸς δὲ παῖδα τὸν ὕπνον· βουφόνον δὲ καὶ Διονύσου θεράποντα τὸν πέλεκυν.*

Epigr. 152. Ath. l. c. *Πεποίηκε δὲ καὶ ἕτερον ὁ Σιμωνίδης ἐπίγραμμα, ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν· Φημὶ* κτλ. *Λέγεται δὲ ἐν τῇ Καρθαίᾳ διατρί-*

XVII. Timocreontis Rhodii carmina.

Olymp. LXXVII, 2.

Suidas: *Τιμοκρέων, Ῥόδιος, κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας· διεφέρετο δὲ πρὸς Σιμωνίδην τὸν τῶν μελῶν ποιητὴν καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, εἰς ὃν ἐξύφανε ψόγον δι' ἐμμελοῦς τινος ποιήματος· ἔγραψε δὲ κωμῳδίαν εἴς τε τὸν αὐτὸν Θεμιστοκλέα καὶ εἰς Σιμωνίδην τὸν μελοποιὸν καὶ ἄλλα.* **Peculiarem de Timocreonte Rhodio ejusque carminum reliquiis dissertationem edidit A. Boeckhius Ind. Lectt. Berolin. per semestre aestivum MDCCCXXXIII. Cfr. Clinton. Fastt. Hell. Olymp. LXXVII, 2.**

I. *Ἴαμβοι.*

1.

Ἐπῳδάς.

Ἀλλ' εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνέεις
ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω

βοντα αὐτὸν διδάσκειν τοὺς χοροὺς· εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλωνος ἱερῷ οὐ μακρὰν τῆς θαλάσσης· ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη· ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἐπειὸν διὰ τὸ μυθολογεῖσθαι τοῦτο δρᾶν ἐκεῖνον καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησι (v. fr. 13.)· *ὑπαρχόντων οὖν τούτων ταχθῆναί φασι τῷ μὴ παραγενομένῳ τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν παρέχειν τῷ ὄνῳ χοίνικα κριθῶν. Τοῦτο οὖν κἂν τῷ ποιητῇ λέγεσθαι· καὶ εἶναι τὸν μὲν οὐ φέροντα τὸ τοῦ τέττιγος ἄεθλον τὸν οὐκ ἐθέλοντα ᾄδειν· Πανσπηϊάδην* (Il. Ψ, 665.) *δὲ τὸν ὄνον· μέγα δεῖπνον τὴν χοίνικα τῶν κριθῶν.* Vide Exx. Critt. X, 62 sq.

Timocreontis Rhodii carmina. I. *Ἴαμβοι.* Scripsisse Timocreontem *ἰάμβους διαβολὰς ἔχοντας* narrat Schol. Aristid. III, 720. Dindorf., h. e. versus famosos, quibus Themisto-

ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν
ἐλθεῖν ἕνα λῷστον· ἐπεὶ Θεμιστοκλῆ' ἤχθαρε Λατώ,

Στροφή.

ψεύσταν, ἄδικον, προδότιν, ὃς Τιμοκρέοντα ξεῖνον ἑὸν
ἀργυρίοις σκυβαλικτοῖσι πεισθεὶς οὐ κατᾶγεν
ἐς πάτραν Ἰάλυσον,
λαβὼν δὲ τρὶς ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς Ὄλεθρον,
τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων, τοὺς δὲ καίνων,
ἀργυρέων ἵμάπλεως, Ἰσθμοῖ δὲ πανδοκεὺς γελοίως
ψυχρὰ κρέα παρέχων·
οἱ δ' ἤσθιον, κεύχοντο μὴ ὥραν Θεμιστοκλεῖς γενέσθαι.

---

clem maxime arrosit et Simonidem Ceum procacissimus poeta, in quem exstat Epigramma Simonidis 113. Eadem carmina in mente habuit auctor Suidae, qui ipsum κωμικὸν vocat et κωμῳδίαν in Themistoclem scripsisse narrat, h. e. poetam λοιδόρων μελῶν. Aliter Hermannus de Trag. et Com. Lyrica p. 13.

Fr. 1. Plut. Themistocl. XXI. Τιμοκρέων ὁ Ῥόδιος μελοποιὸς ἐν ᾄσματι καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον προεμένου δι' ἀργύριον· λέγει δ' οὕτως· Ἀλλ' κτλ. Descripsit Hermannus Praef. Epit. D. M. XVIII. et Opuscc. V, 198 sqq., aliter Boeckhius l. c. 6 sq. Avaritiam maxime perstringenti poetae unus omnium maxime abstinens Aristides probatur. In Xanthippo, patre Periclis, id videtur aegerrime tulisse, quod Miltiadem accusavit, Herod. VI, 136. 4. ἕνα λῷστον, Virg. Aen. II, 246. Lobeck. Soph. Aj. 1340. *Themistoclem odio fuisse Latonae* dixit, κουροτρόφῳ, opinor, quo a puero ψεύσταν, ἄδικον, προδόταν fuisse argueret. 6. Vulgo ἀργυρίοισι σκυβαλικοῖσι: Coraes ex Justinae βαλικοῖσι finxit ἀργυρίοισι βασιλικοῖσι: rectius emendavit Hermannus. Quum autem σκύβαλον sit τὸ δι' ἑτέρων ἐκδιδόμενον, Schaeferus ἀργ. σκυβ. interpretatur *Dreckgeld*. 7. πατρίδα libri: correxit Hermannus. 8. ἔβα πλ. εἰς ὅλ., *abiit in malam crucem, ging er zum Teufel*. 10. Libri ἀργυρίων. πανδοκεὺς Hermannus: libri δ' ἐπανδόκευε, δὲ πανδόκευε: Mehlhorn. ἐπανδόκει, Boeckhius ἐπανδόκεε. Ceterum haec quo tendant obscurum. 11. ψύχεια. Bodl. 3. Sintenis aliquando χλίαχρα se conjecisse narrat, h. e. τὰ ἄσαρκα καὶ δερματώδη Bachmann. Anecd. I, 36. 12. *Pluralis referendus ad* πάντας, *vel consimilem, quae in* παγδοκεὺς *inest notionem*. Sintenis.

2.

Μοῦσα, τοῦδε τοῦ μέλεος
κλέος ἀν' Ἕλλανας τίθει,
ὡς ἐοικὸς καὶ δίκαιον.

3.

Οὐκ ἄρα Τιμοκρέων μοῦνος ὃς Μήδοισιν ὀρκιατομεῖ,
ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί· οὐκ ἐγὼ μόνα κόλουρις·
ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.

μὴ ὥραν, hiatus vel Atticis usitatus, ut Arist. Lys. 1037. Ἀλλὰ μὴ ὥρασ' ἴκοισθ'· ὡς ἐστὲ θωπικαὶ φύσει, cfr. Hermann. Epit. D. M. XVI. Bergk. Anacreont. 137. *Optabant fieri, ut nullus esset Themistocles.* Θεμίστοκλεῦς Hermannus, vulgo Θεμιστοκλέους.

Fr. 2. Plut. l. c. Πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα κέχρηται βλασφημίᾳ μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή· Μοῦσα κτλ. 1. An Μοῖσα? μέλεος bisyllabum.

Fr. 3. Plut. l. c. Λέγεται δ' ὁ Τιμοκρέων ἐπὶ μηδισμῷ φυγεῖν συγκαταψηφισαμένου τοῦ Θεμιστοκλέους· ὡς οὖν ὁ Θεμιστοκλῆς αἰτίαν ἔσχε μηδίζειν, ταῦτ' ἐποίησε πρὸς αὐτόν· Οὐκ ἄρα κτλ. 1. ὃς inseruit Hermannus. ὀρκιατομεῖ idem dedit: vulgo ὅρκια τέμοι, cod. Paris. ὅρκια τέμνει, v. Bast. Greg. Cor. 717. κόλουρις est fere i. q. ἀλώπηξ. Hesych. κοθυῦριν· ἀλώπεκα. Sed Schaeferus: *Non mihi soli amputanda est cauda, sed aliis vulpibus idem accidit, h. e. non ego solus, quod Persis faverem, in exilium pulsus sum, sed alios etiam propterea solum vertere coegerunt.* 2. Verba ἐντὶ καὶ ἄλλοι πονηροὶ, οὐκ ἐ. μ. κ., ἐντὶ καὶ ἄ. ἀλ. in Violetum transcripsit Arsen. 231. κοὐκ Hermannus: Boeckhio hiatus, ut in diaeresi, tolerabilis videtur. 3. Edd. vett. ἄλλοι.

Idem Timocreon ἐν μέλεσι usurpaverat Καρικὸν αἶνον, de quo v. Simonidis Epinic. fr. 19. Praeterea in exsulem Themistoclem torsisse conjeci Exx. Critt. IX, 59. et Nunc. Litterar. Gott. 1837, 86. p. 858. quae narrat Diogenianus Praef. Provv. V. Gaisford. Ὁ Κύπριος (αἶνος) προσηγόρευται διὰ τὸ παρὰ Κυπρίοις λέγεσθαι ὡς ἐπιχώριος· κέχρηται δὲ καὶ τούτῳ Τιμοκρέων, ἐμφαίνων, ὡς οἱ ἄδικα πράσσοντες καὶ ἐς ὕστερον τῶν προσηκόντων τυγχάνουσι· Καὶ γὰρ τῷ Ἀδώνιδι ἐν Κύπρῳ τιμηθέντι ὑπὸ τῆς Ἀφροδίτης, μετὰ τὴν τελευτὴν οἱ Κύπριοι ζῶσας ἐνίεσαν περιστεράς· αἱ δ'

4.

Κηΐα με προςῆλθε φλυαρία οὐκ ἐθέλοντα·
Οὐκ ἐθέλοντά με προςῆλθε Κηΐα φλυαρία.

II. Σκόλιον.

5.

Ὤφελέν σ', ὦ τυφλὲ Πλοῦτε, μήτε γῇ μήτ' ἐν θαλάσσῃ,
μήτ' ἐν ἠπείρῳ φανῆναι,
ἀλλὰ Τάρταρόν τε ναίειν κἀχέροντα· διὰ σὲ γὰρ πάντ'
ἔστ' ἐν ἀνθρώποις κακά.

III. Ἐπίγραμμα.

6.

Τῷ ξυμβουλεύειν χὲρς ἄπο, νοῦς δὲ πάρα.

ἀποπτᾶσαι καὶ διαφυγοῦσαι αὖθις ἀδοκήτως εἰς ἄλλην ἐμπεσοῦσαι πυρὰν διεφθάρησαν.

Fr. 4. Anth. Pal. XIII, 31. Derisit poeta Epigr. 150. Simonidis, quocum ei simultates intercesserunt, Diog. L. II, 46. *Κηΐα*, producta ῑ, ut in Homerico Ἀσκληπίου. 2. *οὐκ ἐθέλοντα*, nota dactylum liberius loco trochaei usurpatum. Sic maxime Epicharmus, in nominibus propriis alii.

II. Σκόλιον. 5. Scholl. Ar. Rann. 1337. Acharn. 532. *Τιμοκρέων ὁ Ῥόδιος ἐποποιὸς τοιοῦτο ἔγραψε σκόλιον κατὰ τοῦ Πλούτου, οὗ ἡ ἀρχή· Ὤφελες, ὦ τ. Π., μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ φανῆμεναι, ἀλλὰ Τ. γε ν. κἀχέροντα· διὰ σὲ γὰρ πάντ' ἐν ἀ. κακά.* Scripturam qui emendavit Mehlhornius in Themistoclis avaritiam statim post pugnam Salaminiam dicta esse statuit; jure dubitat Sintenis: numeros carminis, quod non videtur choricam formam habuisse, constituit Boeckhius. Isidorus Pelusiota Epp. II, 146. *Ἔθος ἦν παλαιὸν μετὰ τὴν συνεστίασιν ἅπτεσθαι λύρας καὶ ᾄδειν Ἀπόλλωνος, ὦ Πλοῦτε, καὶ μήτε ἐν γῇ φανείης, μήτε ἐν θαλάσσῃ.*

III. Ἐπίγραμμα. 6. Hephaestio 4. *Τιμοκρέων ἐν τοῖς Ἐπιγράμμασι· ᾧ ξυμβ.* Boeckhius *τῷ, consilio dando manus non adest, sed mens.* Toupius *ᾧ ξυμβ.* sic explicat: *Qui mentem ad deliberandum habet, vires ad pugnandum non habet.* De forma *χὲρς* v. Lobeck. Parall. 94.

IV. Ἐξ ἀδήλου ᾄσματος.

7.

Σικελὸς κομψὸς ἀνὴρ
ποτὶ τὰν ματέρ' ἔφα.

XVIII. Corinnae Tanagraeae Carmina.

Olymp. LXXII, 3.

Suidas: *Κορίννα* (*Κόριννα*), *Ἀχελωδώρου* (VA: vulgo *Ἀχελοδώρου*) *καὶ Προκρατίας, Θηβαία ἢ Ταναγραία, μαθήτρια Μύρτιδος· ἐπωνόμαστο δὲ Μυῖα· λυρική· ἐνίκησε δὲ πεντάκις, ὡς λόγος, Πίνδαρον* (v. Plutarch. Morall. II, 347, E. Lucian. Demosth. Encom. XIX.) *ἔγραψε βιβλία πέντε, καὶ Ἐπιγράμματα, καὶ Νόμους λυρικούς.* [*Κορίννα, Θεσπία, λυρική· οἱ δὲ Κορινθίαν εἰρήκασι· Νόμους λυρικούς.*] *Κορίννα νεωτέρα, Θηβαία, λυρική, ἡ καὶ Μυῖα κληθεῖσα.* Cfr. Paus. IX, 22, 3. Vide Welckeri commentationem de Corinna in Creuzeri Melett. II, 10 sqq.

1.

*Ἰὼν * ειηδ' εἰρώων ἀρετὰς χειρωάδων.*

IV. Ἐξ ἀδήλου ᾄσματος. 7. Hephaestio 71. *Τῷ καθαρῷ ἐφθημιμερεῖ ὅλον ᾆσμα Τιμοκρέων συνέθηκε· Σικελὸς κτλ.* Plat. Gorg. 493, A. *Καὶ τοῦτο ἄρα τὶς μυθολογῶν, κομψὸς ἀνὴρ, ἴσως Σικελός τις ἢ Ἰταλικός.* Metrum vocatur Timocreontium Servio Centim. 1823. Bergk. Anacr. 47.

Ut hoc addam, ad verba Aristoph. Vespp. 1063. *Ὦ πάλαι ποτ' ὄντες ἡμεῖς ἄλκιμοι μὲν ἐν χοροῖς, ἄλκιμοι δ' ἐν μάχαις, καὶ κατ' αὐτὸ δὴ μόνον τοῦτ' ἄνδρες ἀνδρικώτατοι, πρίν ποτ' ἦν, πρὶν ταῦτα· νῦν δ' οἴχεται κύκνου τ' ἔτι πολιώτεραι δὴ αἴδ' ἐπανθοῦσιν τρίχες*, ad illa igitur Scholia: *Δίδυμός φησιν ὡς παρώδηνε ταῦτα ἐκ τῶν Τιμοκρέοντος τοῦ Ῥοδίου.* Habes jam quae supersunt Timocreontea omnia.

Corinnae Tanagraeae carmina. Fr. 1. Apollon. Pron. 324, B. *Βοιωτοὶ ΙΩΝ, ἐγωνγα ἰωνγα. Κόριννα·* (fr. 12.)

2.

Τοὺ δὲ, μάκαρ Κρονίδα, τοὺ Ποτείδαον, ὦ Ϝάναξ Βοίωτε.

3.

Περὶ τεοῦς Ἑρμᾶς ποτ' Ἄρευα πουκτεύϊ.

4.

Νίκασ' ὁ μεγαλοσθένης
Ὠαρίων, χώραν τ' ἀπ' ἑοῦς
πᾶσαν ὠνούμηνεν.

καὶ ἔτι· ἴωνει ηδ' ἡρώων ἀρετὰς χειρωαδων. Leakius Mus. Crit. Cantabrig. 1823, 584. *Ἰὼν ἤειδον ἡρώων* (*εἱρώων* Boeckhius C. Inscrr. I, 720.) *ἀρετὰς χήρωϊδων.* Bergkius Zimmerm. Diar. Philoll. 1835, 120. p. 967. *Ἰὼν ἄειδον εἱρώων ἀρ. χειρωΐδων.* Fortasse autem Boeoti dicebant *εἱρωὰς* pro vulg. *ἡρωΐς.* De *ει* pro *η* apud eosdem v. Heraclid. Eustath. Odyss. 1442, 47. Boeckh. l. c. In Inscr. 1583. est *Εἱρώδας.*

Fr. 2. Herodianus *περὶ μον.* 11, 8. *Παρὰ Βοιωτοῖς Ποτειδάων τραπέντος τοῦ σ εἰς τ' Κόριννα· Βοιωτοὶ* (latere videtur nomen carminis) *τοῦδε μάκαρ Κρονίδη· τοῦ ποτειδάωνος ἄναξ βοΐωτε. ὅτι πολλοὺς ἐποίησε σχηματισμοὺς καὶ ἐν ἑτέροις εἴρηται.* Correxit Boeckhius C. I. I, 722. *Βοίωτε* corripit *οι*, ut Eur. Iph. Aul. 253.

Fr. 3. Apollonius Pron. 355, C. *Κόριννα* (habet *τεοῦς*) *Περὶ τ. Ἑ. ποτ' ἀρευαπουκτευϊ.* Valckenarius Theocr. Adon. 303, A. *ποτ' Ἄρη απουκτεύει:* optime codex, v. Boeckh. l. c. 720. De forma *Ἄρευα* v. ad Alcaei fr. 20.

Fr. 4. Apollon. 358, B. *Ἑους. Αὕτη ἀκόλουθος Δωρικῇ τῇ τεοῦς, ᾗ συνεχῶς καὶ Κόριννα ἐχρήσατο. ἐν Κατάπλῳ· Νίκασ' κτλ.* Hermannus El. D. M. 522. versu 1. *ὂν μεγ.* scribit. 2. Codex *ωαρειων.* De forma nominis v. Buttmann. apud Dissen. Pind. Nem. II, 12. nott. critt., et Mueller. Orchom. 99 sq. 3. *ὠνούμηνεν,* h. e. *ὠνύμαινεν:* aoristus fuisset *ὠνούμανεν,* v. Boeckh. 721. Scholl. Nic. Ther. 15. *Οἱ πλείους Ταναγραῖον εἶναί φασι τὸν Ὠρίωνα· Κόριννος* (*Κόριννα*) *δὲ εὐσεβέστατον αὐτὸν λέγει καὶ ἀπελθόντα πολλοὺς τόπους ἡμερῶσαι καὶ καθαρίσαι ἀπὸ θηρίων.* Quam autem terram de se nominaverit fateor nescire. An Hyriam dicebat poetria, Boeotis *Οὐρίαν* dictam? v. ad fr. 6. Ceterum Hermannus El. D. M. 521. *Corinna in Κατάπλῳ, nisi fallor, expeditionem descri-*

5.

Οὐ γάρ τιν ὁ φθονερὸς δαίμων.

6.

Καλλιχόρω χθονὸς Οὐρίας θουγάτηρ.

7.

Καὶ πεντήκονθ' οὐψιβίας.

8.

* *Δούρατος ὥστ' ἐφ' ἵππω*

---

psit, qua Iolaus Thespiadas in Sardiniam traduxit, ibique devictis indigenis sedes tenuit: qui coloni Ἰολαεῖς vel Ἰολάειοι postea vocati sunt. Vide *Apollonium II, 7, 6. Diod. Sic. IV, 29. V, 15. Paus. VII, 2, 2. X, 17, 4. Strab. V*, 225. — Cfr. ad frr. 7. 8. Sed eadem poetria scripsit carmen Ἰόλαος inscriptum, Apollon. Pron. 373, B. Ego *Κατάπλουν* alio spectasse credo.

Fr. 5. Apollon. Pron. 365, B. (*Τὴν*) *τίθεται παρὰ Κορίννῃ καὶ ἐπ' αἰτιατικῆς ἐν Κατάπλῳ· Οὐ κτλ. ἀντὶ τοῦ σέ, καὶ σαφὲς ὡς κατ' ἐναλλαγὴν πτώσεως.* Vide Hermanni El. D. M. 523.

Fr. 6. Priscianus I, 6. p. 35. Krehl. *Aeoles θουγάτηρ pro θυγάτηρ, οὐ corripientes, vel magis υ sono u soliti sunt pronunciare ideoque adscribunt ο, non ut diphthongum faciant, sed ut sonum υ Aeolicum ostendunt, ut Καλλιχώρου χθονὸς εὐρείας θουγάτηρ.* Alcaeo vel Alcmani haec tribuunt; rectius Welckerus Jahn. Annall. 1830, I, 60. et Muellerus Mus. Rhen. 1833, I, 28. Corinnae. Orion enim filius Uriei erat natus Hyriae, quae urbs tenore Boeotico est *Οὐρία*, Ovid. Fastt. V. 535. *Hunc Hyrieus, quia sic genitus, vocat Uriona: Perdidit antiquum littera prima sonum.* De Metiocha et Menippa, filiabus Orionis Hyriei, cecinerat poetria, Antonin. Liberal. XXV. *καλλιχώρου* Krehlius: perperam. Reliqui *καλλιχόρου*, quod *καλλιχόρῳ* scribendum erat. *Οὐρίας*, h. e. *Τρίας*, vulgo: Krehlius *εὐρείας* ex cod. Heidelbergensi: alii codd. *ηυρηιας*, *συρειας*.

Fr. 7. Hephaestio 106. *Καὶ ἐπὶ τῶν Γλυκωνείων τοιαῦτα σχήματα παραλαμβάνεται· οἷον ἐν τοῖς Κορίννης* (v. fr. 8. 11.) *Καὶ πέννε. κτλ.* scil. *filios ex Thespii filiabus suscepit Hercules*, si audis Hermannum El. D. M. 522.

Fr. 8. Hephaestio l. c. *Ἔτι δὲ καὶ πλείοσιν αὖθις κέχρηται σχήμασιν Ἀθύρατος κτλ.* Hermannus El. D. M. 522.,

κατὰ μὲν βριμούμενοι
πόλιν δ' ἐπράθομεν·
προφανὴς γλουκοὺ δέ τις ἀείδων
πελέκεσσι δονεῖτη.

9.

Οὐμὲς δὲ κομισθέντες.

10.

Εὐωνυμίης πῆδα Fὸν θέλωσα φίλης ἀγκάλης ἑλέσθη.

---

cui haec ex *Κατάπλῳ* videntur hausta, v. ad fr. 4.: *Credibile est, introductum esse aliquem, qui de bello cum antiquis Sardiniae incolis gesto exponens, urbem eorum prope repentina incursione captam esse, hunc fere in modum narraret: Λούρατος ὥστ' ἐφ' ἵππίῳ Κάρτα κε βρέμομενοι πόλιν Διεπράθομεν ἀπροφανές. Γλούκου δὲ πού τις ἀοιδιῶν Πελέκεσσι δονεῖτ' ἄν. Ita*, inquit, *ut propter hastam equestrem feroces prope ex improviso urbem capissemus, atque aliquis dulce canens securibus territus esset*, quibus nempe portas, aedesque diruituri fuissent. *Ἀπροφανὲς* certe pro verissimo habet. — Libri haec discrepant ab iis quae ego supra posui: 2. *καὶ τὰ μὲν βριμόμενοι* C., *εὐπράθομεν* Heidelberg., *Γλυκοῦ* Turnebus: *ἀείδων* C., *αἰδὼν* Florent., *ἀηδὼν* Rehdig. Monac., *αἴδων* Heidelb. Vulgo *ᾠδων*. Boeckhius l. c. 722. certe *ἀFοιδιῶν* postulat. 5. *δονεῖτη* Boeckhius: libri *δονεῖται*. Scholiasta Heph. fere eadem tuetur. Dorvillius, cui, mirum dictu, Dmai equo Trojano inclusi loqui videbantur, sic scribit: *Λουρατέω τ' ἐφ' ἵππω Κατὰ μὲν βριμούμενοι, Πόλιν δ' ἐπράθομεν*. Mihi hoc certum videtur, induxisse poetriam heroem quendam Boeotum, qui expugnationi Trojae interfuisset, sic fere narrantem: *Λούρατος ὥς ἀφ' ἱππίω κάρτα μέγα βριμούμενοι πόλιν ἐπράθομεν ἀπροφανές· γλουκοὺ δέ πω τις ἀFοιδιῶν πελεκέεσσι δονεῖτη*. Ultima eo spectant, quod Trojani comissantes ex improviso trucidati ferebantur. Hephaestio num de metro recte judicaverit licet ambigere.

Fr. 9. Apollonius 379, B. *Βοιωτοὶ μετὰ διφθόγγου τοῦ οὖ· Οὐμὲς δ. κ. ΚόρινναΈπ' ἐπὶ Θήβαις.*

Fr. 10. Apollonius 396, B. *Αἰολεῖς μετὰ τοῦ F κατὰ πᾶσαν πτῶσιν καὶ γένος· ΚόρινναΕὐωνυμίης πηδεγον θέλωσα φίλης ἀγκάλης ελησθη.* Codex *ευωνιμιης κορινα* inverso ordine: fortasse latet titulus carminis, ut *ἐν ὕμνοις* conjecerim. Certe *θοῦριν Ἀθηναίης ἀσπίδα μελψαμέναν* poetriam vocat Antipater. Si *εὐωνυμίης* ad verba poetriae pertinet, idem est q. *εὐφυμίοις* conferque Boeckhius l. c. 720. *εὐωνυμίως* in ti-

11.

Καλὰ γέροια εἰσομένα
Ταναγρίδεσσι λευκοπέπλοις·
μέγα δ' ἔμης γέγαθε πόλις
λιγυροκωτίλης ἐνόπης.

12.

Μέμφομη δὲ κὴ λιγούραν Μούρτιδ' ἰώνγα,
ὅτι βάνα φοῦσ' ἔβα Πινδαρίοιο ποτ' ἔριν.

13.

Τὸ δέ τις οὐμίων ἀκουσάτω.

---

tulo Boeotico 1711. et *ἐπωνυμίαν* Pind. Ol. XI, 78. Pyth. I, 80. Cetera emendatiora scripserunt Leakius Mus. Crit. Cantabr. 1823, 584. et eodem modo Boeckhius, nisi quod hic *Fεὸν* minus recte. Vulgari sermo esset: *εὐωνύμοις παῖδα ὃν θέλουσα φίλαις ἀγκάλαις ἑλέσθαι.*

Fr. 11. Hephaestio 106. *Οἷον ἐν τοῖς Κορίννης* (v. fr. 7.) *Καλὰ κτλ.* 1. *Καλὰ* omitt. Rehdig. et ed. Flor. *γέρεια* Turnebus: at *γέροια* possit Aeolica forma esse, v. Intpp. Greg. Cor. 605 sq., pro *γέρεια*, h. e. *γέρεα* a. v. *γέρας*, Hermann. El. D. M. 521. *εἰσομένα* libri Heph. et Scholiasta: Hermannus *εἰσαμένα*. Videtur i. q. *οἰσομένα* esse. 2. *ἐμὴ γέγαθε* vulgo: *ἐμὴ μέγαδε* ed. Flor., *ἐμὴ μέγαθε* Heidelb. 3. Vulgo *ἐνοπῆς*. Restituit haec optime Boeckhius l. c. 723. *ἔμης — λιγυροκωτίλης ἐνόπης* sunt Dativi pluralis.

Fr. 12. Apollonius 324, C. *Ἐγώνγα τὴν ἰωνγα* (v. fr. 1.) *Κόρίννα· Μέμφομαι δὲ κ. λ. Μύρτιδα ἰωνγα, ὅτι β. φοῦσα ἔβα Πινδαρίοιο ποτ' ἔριν.* Emendavit Boeckhius 720. 1. *μέμφομη*, v. de his formis Choerobosc. Bekkeri 1215. *Μούρτιδ'*, sic *Μούρτω* vel *Μουρτὼ* est in titulo Boeot. 1645. *ἰώνγα*, Aristoph. Ach. 906. 2. *βάνα*, Hesych. s. v. et Herod. *περὶ μον.* 18, 25. *Τὸ παρὰ Κορίννῃ βάνα οὐ κοινὸν οὐδὲ εἰς νῆ λῆγον, ἀλλὰ ἴδιον θέμα Βοιωτῶν τασσόμενον ἀντὶ τοῦ γυνή.* Ceterum cum vv. *βάνα φοῦσ'* compara Aesch. Sept. 1040. Iophon Stob. Ecl. II, 1, 9. Ruhnken. Rutil. Lup. 94. *ἔβα Πινδαρίοι ποτ' ἔριν*, h. e. *quod cum Pindaro certare ausa est*, v. Valckenar. Theocr. Adon. 300, C. Nec ego *Πινδαρίοιο* damnem: Boeckhius *Πινδάροιο*.

Fr. 13. Apollonius 382, B. *Οὐμίων· Βοιωτοί· Τὸ κτλ. Κόρίννα.* Codex *ουμειων*. Cfr. fr. 9. Boeckh. l. c. 720.

14.

Ἢ διανεκῶς εὔδεις· οὐ μὰν πάρος ἦσθα Κόριννα.

15.

Θέσπια καλλιγένεθλε, φιλόξενε, μουσοφίλητε.

XIX. Diagorae Melii Carmina.

Olymp. LXXVIII. (Clinton. Fastt. Hell. ad a. 466.)

Suidas: Διαγόρας, Τηλεκλείδου ἢ Τηλεκλύτου, Μήλιος, φιλόσοφος καὶ ἀσμάτων ποιητής· ὃν εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν καὶ μαθητὴν ἐποιήσατο. ὁ δὲ καὶ τῇ λυρικῇ ἐπέθετο, τοῖς χρόνοις ὢν μετὰ Πίνδαρον καὶ Βακχυλίδην, Μελανιππίδου δὲ πρεσβύτερος· ἤκμαζε τοίνυν οὐ Ὀλυμπιάδι. ἐπεκλήθη δὲ Ἄθεος, διότι τοῦτο ἐδόξαζεν, ἀφ' οὗ τις ὁμότεχνος αἰτιαθεὶς ὑπ' αὐτοῦ ὡς δὴ παιᾶνα ἀφελόμενος, ὃν αὐτὸς ἐπεποιήκει, ἐξωμόσατο μὴ

Fr. 14. Hephaestio 22. Ἔστι μέντοι καὶ ἐν ἔπει, ὡς παρὰ Κορίννῃ ἐν τῷ πέμπτῳ· Ἢ κτλ. διανεκῶς Corinna pronunciabat fere ζανεκῶς, v. Hermann. El. D. M. 54. Boeckh. l. c. 725. et nos ad Sapph. fr. 22. Ad ἦσθα Κόριννα ὑπναλέα supplet Hermannus. Turnebus in calce οἶσθα.

Fr. 15. Schol. Sangerman. Il. *B*, 498. Οἷον καὶ παρὰ Κορίννῃ· (scil. est Θέσπια, non Θέσπεια) Θέσπια κτλ. Steph. Byz. v. Θέσπεια· καὶ ἐκτείνεται καὶ συστέλλεται παρὰ Κορίννῃ.

Corinnae esse suspicor versiculum apud Hephaestionem 81. a Blomfieldio ad Alcaeum relatum hunc: Τοιοῦτος εἰς Θήβας πάνυ ἁρμάτεσσ' ὀχήμενος, ubi quum χείμενος codex C habeat, ὀχείμενος scribendum erit.

Diagorae Melii Carmina. Phaedrus Epicur. de Nat. Deor. 23. Petersen. Ὁ Διαγόρας ἔπαιξεν, εἴπερ ἄρα τοῦθ' οὕτως ἐστίν, ἀλλ' οὐκ ἐπενήνεκται, καθάπερ ἐν τοῖς Μαντινέων ἔθεσιν Ἀριστόξενος φησίν. Ἐν δὲ τῇ ποιήσει κατ' ἀλήθειαν ὑπ' αὐτοῦ γεγράφθαι τοῖς ὅλοις οὐδὲν ἀσεβὲς παρενέφαινεν, ἀλλ' ἐστὶν εὔφημος, ὡς ποιητής, εἰς τὸ δαιμόνιον,

κεκλοφέναι τοῦτον· μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. ἐντεῦθεν οὖν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς καλουμένους Ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. κατοικήσας δὲ Κόρινθον ὁ Διαγόρας αὐτόθι τὸν βίον κατέστρεψε. Cfr. prolixam de Diagora narrationem Meieri in Encyclop. Ersch. et Gruber. s. v. et Bergkii Commentatt. Comoed. Att. 171 sqq.

1. *Εἰς Ἀριάνθην τὸν Ἀργεῖον.*

Θεὸς, θεὸς πρὸ παντὸς ἔργου βροτείου νωμᾷ φρέν' ὑπερτάταν.

2. *Εἰς Νικόδωρον τὸν Μαντινέα.*

Κατὰ δαίμονα καὶ τύχαν τὰ πάντα βροτοῖσιν ἐκτελεῖσθαι.

XX. Praxillae Sicyoniae Carmina.

Olymp. LXXXII.

De Praxilla nuper dixit Bergkius Commentatt. Com. Att. 227 sq. et Fritzschius ad Aristoph. Thesm. 191 sq.

καθάπερ ἄλλα τε μαρτυρεῖ καὶ τὸ γεγραμμένον εἰς Ἀριάνθην (Bergkius Ἐριάνθην conjectat, quia Paus. X, 9, 9. Erianthes Boeotus memoratur.) τὸν Ἀργεῖον· Θεὸς κτλ. Καὶ τὸ εἰς Νικόδωρον τὸν Μαντινέα· Κατὰ κτλ. τὰ παραπλήσια δ' αὐτῷ περιέχει καὶ τὸ Μαντινέων ἐγκώμιον. De Nicodoro Aelian. V. H. II, 23. Νικόδωρος ὁ πύκτης ἐν τοῖς εὐδοκιμωτάτοις Μαντινέων γενόμενος, ἀλλὰ ὀψὲ τῆς ἡλικίας καὶ μετὰ τὴν ἄθλησιν νομοθέτης αὐτοῖς ἐγένετο, μακρῷ τοῦτο ἄμεινον πολιτευσάμενος τῇ πατρίδι τῶν κηρυγμάτων τῶν ἐν τοῖς σταδίοις. Φασὶ δὲ αὐτῷ Διαγόραν τὸν Μήλιον συνθεῖναι τοὺς νόμους ἐραστὴν γενόμενον. Ad Mantinensium Encomium Petersen 47. non recte rettulit Sext. Empir. IX, 53. Ὅς γε καὶ τῆς ποιήσεως αὐτοῦ κατήρξατο τὸν τρόπον τοῦτον· Κατὰ δαίμονα καὶ τύχην πάντα τελεῖται, quod est carminis in Nicodorum exordium, ubi ἐκτελεῖται verum videtur.

I. Ὕμνοι.

1.

Κάλλιστον μὲν ἐγὼ λείπω φάος ἠελίοιο,
δεύτερον ἄστρα φαεινὰ σεληναίης τε πρόςωπον
ἠδὲ καὶ ὡραίους σικύους καὶ μῆλα καὶ ὄγχνας.

2.

Ἀλλὰ τεὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

II. Σκόλια.

3.

Ἀδμήτου λόγον, ὦ τιμᾶρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει·
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλῶν ὀλίγα χάρις.

Praxillae Sicyoniae Carmina. I. Ὕμνοι. Fr. 1. Provv. Coislin. 248. Ἠλιθιώτερος τοῦ Πραξίλλης Ἀδώνιδος· ἐπὶ τῶν ἀνοήτων. Πράξιλλα γὰρ ἡ Σικυωνία μελοποιὸς (ὡς φησὶ Πολέμων Zenob. IV, 21.) ἐν τοῖς ὕμνοις (ἐν τοῖς μέλεσιν Zenob.) εἰςάγει τὸν Ἄδωνιν ἐρωτώμενον ὑπὸ τῶν καταχθονίων, τί κάλλιστον καταλιπὼν ἐλήλυθεν, ἐκεῖνον δὲ λέγοντα οὕτως· Κάλλιστον κτλ. Εὐήθης γάρ τις ἴσως ὁ τῷ ἡλίῳ καὶ τῇ σελήνῃ τοὺς σικύους καὶ τὰ λοιπὰ συναριθμῶν. Cfr. de hoc hymno quae diximus in Nunc. Litt. Gotting. 1837, 85, 845 sq. 859 sq. 2. σεληναίης, v. Lobeck. Parall. 312. 3. ὄχνους Coisl. Scripsi ὄγχνας.

Fr. 2. Hephaestio 22. Παρὰ Πραξίλλῃ ἐν διθυράμβοις ἐν ᾠδῇ ἐπιγραφομένῃ Ἀχιλλεύς· Ἀλλὰ κτλ. τεὸν monosyllabum est, v. Hermann. El. D. M. 53. Eadem afferuntur in Crameri Ann. IV, 326, 20., ubi οὔποθε, στείθεσιν ἔπειθεον scriptum. Notus versus Homericus: Ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

II. Σκόλια. 3. Eustath. Il. 326, 36. Ἀπὸ τοῦ ῥηθέντος Ἀδμήτου σκόλιόν τι ἐν Ἀθήναις ἦν ᾀδόμενον, ὡς καὶ Παυσανίας φησὶν ἐν τῷ οἰκείῳ λεξικῷ, λέγων, ὡς οἱ μὲν Ἀλκαίου φασὶν αὐτό, οἱ δὲ Σαπφοῦς, οἱ δὲ Πραξίλλης τῆς Σικυωνίας· ἀρχὴ δὲ τοῦ μέλους αὕτη· Ἀδμήτου κτλ. ἔοικε δὲ διὰ μὲν τῶν ἀγαθῶν τὴν γενναίαν καὶ φιλανδρον ὑποθηλοῦν Ἄλκηστιν, διὰ δὲ τῶν δειλῶν τὸν Ἀδμήτου πατέρα, ὃς

4.

Ὑπὸ παντὶ λίθῳ σκορπίον, ὦ ταῖρε, φυλάσσεο.

III. Ἐξ ἀδήλου εἰδοῦς.

5.

Ὦ διὰ τῶν θυρίδων καλὸν ἐμβλέποισα,
παρθένε τὰν κεφαλάν, τὰ δ' ἔνερθε νύμφα.

XXI. Bacchylidis Cei Carmina.

Olymp. LXXXII.

Suidas: *Βακχυλίδης, Κεῖος, ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος. ἔχει γὰρ πόλεις τέσσαρας Ἰουλίδα, Καρθαίαν, Κορεσσίαν, Ποιήεσσαν· Μέδωνος* (Μειδωνος Neuius) *υἱὸς, τοῦ Βακχυλίδου τοῦ ἀθλητοῦ παιδός· συγγενὴς Σιμωνίδου τοῦ λυρικοῦ* (v. Simonid. Cei Proleg. p. V.) *καὶ αὐτὸς λυρικός.*

ὤκνησε θανεῖν ὑπὲρ τοῦ παιδός. Tangit Aristoph. Vespp. 1277., ubi Scholia: *Τοῦτο οἱ μὲν Ἀλκαίου, οἱ δὲ Σαπφοῦς· οὐκ ἔστι δὲ, ἀλλ' ἐν τοῖς Πραξίλλης φέρεται παροινίοις*, cfr. Bergk. Comm. Com. Att. 227. Ath. XV, 695, C. est 1. *τοὺς ἀγ. σέβου* et 2. *δειλοῖς ὀλίγη χ.*, v. Theogn. 154. Scolium 19. antistropham esse hujus carminis sententia est Fritzschii Quaestt. Arist. I, 52.

4. Scholl. Rav. Arist. Thesmoph. 528. (*τὴν παροιμίαν δ' ἐπαινῶ τὴν παλαιὰν κτλ.*) *Ἐκ τῶν εἰς Πράξιλλαν ἀναφερομένων· Ὑπὸ κτλ.* Cfr. Scol. 14. et Sopl. ocl. Scholl. Nic. Ther. 19. *Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.* Zenob. VI, 20. *Ὑπὸ παντὶ λίθῳ σκορπίος καθεύδει.* Adde Ilgen. Scoll. 89. Fritzsch. ad Thesm. l. c.

5. Hephaestio 43. *Καὶ τὸ πρὸς τρισὶ* (δακτύλοις ἔχον τροχαϊκὴν συζυγίαν) *καλούμενον Πραξίλλειον· Ὦ κτλ.*

Bacchylidis Cei Carmina. Furibundus in Bacchylidea saeviit G. Burgessius in Class. Journ. XXIV, 48. p. 370 sqq., vix ut simulacra carminum agnoscas.

I. Ἐπίνικοι ᾠδαί.

1.

Ὄλβιος, ᾧτινι θεὸς μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζάλῳ τύχᾳ
ἀφνειὸν βιοτὰν διάγειν·
οὐ γάρ τις ἐπιχθονίων πάντα γ' εὐδαίμων ἔφυ.

2.

Ὡς δ' ἅπαξ εἰπεῖν, φρένα καὶ πυκινὰν κέρδος ἀνθρώπων βιᾶται.

3.

Θνατοῖσι μὴ φῦναι φέριστον,
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

4.

Πιστὸν φάσομεν
κῦδος ἔχειν ἀρετάν· πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώποις ὁμιλεῖ.

---

1. Ἐπίνικοι ᾠδαί. Fr. 1. Stob. Floril. CIII, 2. Βακχυλίδου Ἐπινικῶν. 1. θεὸς monosyllabum, ut apud Pindarum, v. Hermann. El. D. M. 53. Neuius ᾧτε dedit. Μοῖραν καλῶν gloriam ex victoriis ludicris ortam, cfr. Pind. Isthm. IV, 18 sqq. 2. τάχα A. 4. πάντα γ' εὐδ. Stobaeus XCVIII, 26. Priore loco vulgo πάντ' εὐδ., sed A πᾶν γ' εὐδ., B πανευδαίμων, Trinc. παντευδαίμων. Suspiceris πάντα πανευδαίμων, v. ad Theognid. 441.

Fr. 2. Stob. Flor. X, 14. Βακχυλίδου Ἐπινικῶν. ἀνθρώπων A et Gesn. Margo: vulgo ἀνθρώπῳ: Grotius ἀνθρώπῳ. Pind. Pyth. III, 54. Κέρδει καὶ σοφία δέδεται.

Fr. 3. Stob. Floril. XCVIII, 27. Ἐν τῷ αὐτῷ (praecessit fr. 1.). Quod Ursini codex praebet: Θνατοῖς μὲν φ. φ. καὶ δ' ἀελ. φάος ἔρος πρ. parodia est, v. Welckeri Prolegg. Theogn. LXXXIV.

Fr. 4. Plut. Morall. II, 36, C. 1. Vulgo φάσωμεν πιστόν: correxit Boeckhius. 2. ὁμιλεῖ, v. Dissen. Pind. Isthm. III, 6.

5.

Ξανθότριχα μὲν Φερένικον
Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον
νικάσαντα.

6.

Ὦ Πέλοπος λιπαρᾶς νάσου θεόδματοι πύλαι.

7.

Προσφωνεῖτέ νιν ἐπὶ νίκαις.

8.

Νίκα γλυκύδωρος·
ἐν πολυχρύσῳ δ' Ὀλύμπῳ Ζηνὶ παρισταμένα κρίνει τέλος
ἀθανάτοισί τε καὶ θνατοῖς ἀρετᾶς.

II. Ὕμνος.

9.

Αἴ αἴ τέκος ἀμέτερον,
μεῖζον ἢ πενθεῖν ἐφάνη κακὸν, ἀφθέγκτοισιν ἴσον.

Fr. 5. Scholl. Pind. Ol. I, p. 21. *Τὸ ὄνομα τοῦ νικῶντος ἵππου Φερένικός ἐστι· μέμνηται δὲ αὐτοῦ Βακχυλίδης γράφων οὕτω· Ξανθότρ. κτλ.* Cfr. Pind. Ol. I, 18. Pyth. III, 74.

Fr. 6. Scholl. Pind. Ol. XIII, 1. *Πρόθυρον καὶ θύρας εἰώθασι καλεῖν τὴν Κόρινθον διὰ τὸ ἀρχὴν ἢ τέλος εἶναι τῆς Πελοποννήσου τὸν Ἰσθμὸν, πρόθυρον δὲ τοῖς εἰς Πελοπόννησον στελλομένοις· Βακχυλίδης· Ὦ κτλ.*

Fr. 7. Apollon. Pron. 368, A. *Ἡ νίν τάσσεται· ἐπὶ πλήθους· Προσφ. κτλ. Βακχυλίδης.*

Fr. 8. Ursini Stobaeus 206. *Βακχυλίδης τὴν Νίκην γλυκύδωρόν φησι καὶ ἐν πολυχρύσῳ Ὀλύμπῳ Ζηνὶ παρισταμένην κρίνειν τέλος ἀθανάτοισί τε καὶ θνητοῖς ἀρετῆς.* Concinnavit Neuius.

II. *Ὕμνοι.* Fr. 9. Stob. Flor. CXXIII, 1. *Βακχυλίδου Ὕμνων.*

III. *Παιᾶνες.*

10.

Τίκτει δέ τε θνατοῖσιν Εἰράνα μεγάλα
πλοῦτον μελιγλώσσων τ' ἀοιδᾶν ἄνθεα,
δαιδαλέων τ' ἐπὶ βωμῶν θεοῖσιν αἴθεσθαι βοῶν
ξανθᾷ φλογὶ μῆρα τανυτρίχων τε μήλων,
γυμνασίων τε νέοις αὐλῶν τε καὶ κώμων μέλειν.
ἐν δὲ σιδαροδέτοις πόρπαξιν αἰθᾶν
ἀραχνᾶν ἱστοὶ πέλονται·
ἔγχεά τε λογχωτὰ ξίφεά τ' ἀμφάκε' εὐρὼς δάμναται·
χαλκεᾶν δ' οὐκέτι σαλπίγγων κτύπος·

III. *Παιᾶνες.* Fr. 10. Stob. Flor. LV, 3. *Βακχυλίδου Παιάνων.* Cfr. Boeckh. de Metr. Pind. 337. 2. Vulgo *πλ. καὶ μελιγλ. ἀοιδῶν:* correxit Boeckhius. Cfr. Pind. Isthm. II, 8. Pyth. III, 64. Olymp. XIII, 96. Soph. El. 641. 3. Legebatur *θεοῖσιν αἴθεται* ex emendatione Leopardi: libri *θεοῖσι τίθενται,* sed *θεοῖσιν ἔθεσθε* A Voss. Ars. Trinc., qui et v. 5. pro vulgato *μέλει* dederunt infinitivum, quem recepi. Jam apparet *τίθενται* hariolationem esse Grammaticorum *ἔθεσθε* perperam interpretantium. Nostram correctionem requirit vel *τε* particula: alias *δὲ* esse debebat. 4. Gaisfordii Stobaeus *ξανθᾷ φλογὶ μῆρία τῶν εὐτρ. τε μήλων.* Vulgo pro *μηρία τῶν εὐτρ.* legebatur *μερίδες εὐτρ.*: A *ξανθὰ φλογῖ μηρῦταν εὐτρ.*, Voss. *μερι*, Ars. *μηρίταν*, Trincav. *μερίταν:* dedi *μῆρα* cum Buttmanno, *δασυτρίχων* sprevi: ad librorum nutus emendavi *τανυτρίχων.* 6 sqq. Stobaeus *ἐν δὲ σιδαροδέτοισι πόρπαξιν* (*σιδαροδέτοισιν ὄρπαξιν* Voss. Ars., *ἔρπαξιν* A, *ὄρπαξιν αἰὲν ἀραχνᾶν* B) *αἴθαν* (Grotius *αἰθᾶν*) *ἀράχναν* (*ἀραχνᾶν* Grotius et sic B) *ἱστοὶ πέλονται, ἔγχεά τε λογχ. ξίφεά τ' ἀμφάκεα* (*ἐμφάκεα* A) *δάμναται.* Sed *εὐρὼς* inseruit Leopardus ex Plut. Numa XX. *Καὶ τὰς ποιητικὰς ὑπερβολὰς ἐνδεῖν πρὸς τὴν τότε κατάστασιν λέγουσιν· Ἐν δὲ σιδαροδέτοις πόρπαξιν αἰθᾶν* (Edd. vett. *ἔνθα* et sic cod. Sangerm.) *ἀραχνᾶν ἔργα* (Valckenar. Diatr. 169.) *καὶ εὐρὼς δάμναται ἔγχεά τε λογχωτὰ ξίφεά τ' ἀμφήκεα, χαλκέων δ' οὐκέτι σ. κ. τ. οὐδὲ σ. μ. ὕ. ἀπὸ βλεφάρων.* Compara Theocr. XVI, 96. Tibull. I, 10, 49. Eurip. Cresph. fr. 15. Dindorf. 9. Boeckhius *χάλκεος οὐκέτι: χαλκειᾶν* Bryanus. Legebatur *χαλκέων.* Compara praeter Tibullum Horat. Epod. II, 1 sq.

οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων, 10
ἀμὸν ὃς θάλπει κέαρ.
συμποσίων δ' ἐρατῶν βρίθοντ' ἀγυιαὶ παιδικοί θ' ὕμνοι
φλέγονται.

11.

Ἕτερος ἐξ ἑτέρου σοφὸς τό τε πάλαι τό τε νῦν· οὐδὲ γὰρ
ῥᾴστον ἀῤῥήτων ἐπέων πύλας
ἐξευρεῖν.

12.

Ἄρκτου παρούσης ἴχνη μὴ ζήτει.

IV. Διθύραμβοι.

13.

Ποσειδάνιον ὡς Μαντινεῖς τριόδοντα χαλκοδαιδάλοισιν ἐν
ἀσπίσι φορεῦντες.

---

10. Boeckhius γλεφάρων. 11. Libri ἄμος: emendavit Heynius Tibull. I, 1, 4. 12. γυμνασίων Voss. Arsen. φλέγονται, Intpp. Soph. O. R. 187.

Fr. 11. Clemens Al. Stromm. V, 687. Potter. Ἕτερος κτλ. φησὶ Βακχυλίδης ἐν τοῖς Παιᾶσιν. Tu compara Pind. Ol. II, 94. Neuii Bacchyl. 5. Formulam τό τε πάλαι τό τε νῦν confer cum trita altera Soph. Antig. 181. νῦν τε καὶ πάλαι, ubi v. Wexii Syllogam. 2. ἐπέων πύλας, Dissen. Pind. Ol. VI, 27.

Fr. 12. Zenob. II, 36. Ἄρκτου κτλ. ἐπὶ τῶν δειλῶν κυνηγῶν εἴρηται ἡ παροιμία· μέμνηται δὲ αὐτῆς Βακχυλίδης ἐν Παιᾶσιν. Vide ibi nostras notas.

IV. Διθύραμβοι. Fr. 13. Scholl. Pind. Olymp. XI, 63. Ὁ Δίδυμος οὕτω καθίστησι τὸν λόγον· τὴν Μαντινέαν φησὶν εἶναι ἱερὰν Ποσειδῶνος καὶ παρατίθεται τὸν Βακχυλίδην λέγοντα οὕτω· Ποσειδ. κτλ. Cfr. Serv. Virg. Aen. XI, 93.

V. *Προσόδια.*

14.

Στρ.

Εἷς ὅρος· μία δὲ βροτοῖσιν ἐστὶν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον·
οἷς δὲ μέριμν' ἀμφιπολεῖ φρενὶ,
τὸ δὲ παρ' ἦμάρ τε καὶ νύκτα μελλόντων χάριν
5* *αονι ἅπτεται κέαρ, ἄκαρπον ἔχει πόνον·*

Ἀντιστρ.

τί γὰρ ἐλαφρὸν ἔτ' ἔστ' ἄπρηκτ' ὀδυρόμενον δονεῖν
καρδίαν;

15.

Πάντεσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.

VI. *Ὑπορχήματα.*

16.

Λυδία μὲν γὰρ λίθος μανύει

V. *Προσόδια.* Fr. 14. Stob. Flor. CVIII, 26. *Βακχυλίδου Προσωδιῶν* (sic). 1. *δὲ* inseruit Neuius, v. Hermann. Soph. Aj. 372. *ἐστίν* post *βροτοῖσιν* induxit idem. 2. *ἀπευθῆ* Trincav. *διαντλεῖν* Neuius optabat cll. Pind. Pyth. IV, 293. G. Dindorfius *διατ. δύναται* 3. Vulgo *οἷς δὲ μυρία μὲν ἀμφ. φρενί: ᾧ δὲ* Stephanus, *ὃς δὲ* Grotius: *μέριμν'* Neuius. Ego *οἷς* retinui. Transit poeta post in singularem, ut fit. 4. Vulgo *τόδε παρόμαρτε νύκτα μελλόντων χάριν ἀόνι ἅπτεται κέαρ.* Correxerunt priora Stephanus et Grotius: *ἀνίᾳ δάπτεται* Jacobsius: Grotius *ἐὸν ἰάπτεται*, quod probat Neuius cll. Hom. Il. Φ, 305. Χ, 459. aliis. Boeckhius *αἰὲν ἰάπτεται.* *ἔχειν* B. 6. 7. accesserunt ex Stob. Flor. CVIII, 49. *Βακχυλίδου Προσωδιῶν.* Vulgo *ἄπρακτ'*: illud Boeckhius cll. Nott. Critt. Pind. Isthm. VII, 7.

Fr. 15. Stob. Flor. XCVIII, 25. *Βακχυλίδου Προσωδιῶν.* *πάντεσσι* Hermann. Orph. 821. Sed cfr. Buttmann. Gr. Max. I, 181.

VI. *Ὑπορχήματα.* Fr. 16. Stob. Flor. XI, 7. *Βακχυλίδου Ὑπορχημάτων.*

χρυσὸν, ἀνδρῶν δ' ἀρετὰν σοφία τε παγκρατής τ' ἐλέγχει ἀλάθεια.

17.

Οὐχ ἕδρας ἔργον οὐδ' ἀμβολᾶς, ἀλλὰ χρυσαιγίδος Ἰωνίας χρὴ παρ' εὐθαίδαλον ναὸν ἐλθόντας ἀβρόν τι δεῖξαι.

VII. Ἐρωτικὰ καὶ Παροίνια.

18.

Εὖτε τὴν ἀπ' ἀγκύλης ἵησι τοῖς νεανίαις, λευκὸν ἀντείνασα πῆχυν.

19.

Ἦ καλὸς Θεόκριτος· οὐ μόνος ἀνθρώπων ἐρᾷς.

20.

Σὺ δ' ἐν χιτῶνι μόνῳ παρὰ τὴν φίλην γυναῖκα φεύγεις.

---

2. Sic vetus gemma apud Caylum Rec. d' Antiq. V, 3. tabul. 50, 4. Apud Stobaeum σοφία τε παγκρατὴς τ' ἐλέγχει ἀλήθεια: sed σοφίαν Damascius, τελέθει pro τ' ἐλ. Voss. B a m. pr. Trinc. Verba παγκρατὴς ἀλήθεια affert Schol. Ven. Il. Π, 57. *Virorum*, ait, *virtutem arguit poesis cum veritate conjuncta.*

Fr. 17. Dionysius Hal. C. V. 206. Rsk. Παρὰ Βακχυλίδῃ· Οὐχ κτλ. Cfr. Ath. XIV, 631, C. Mueller. Orch. 391. Encyclop. Ersch. et Gruber. v. Pallas p. 99 sq.

VII. Ἐρωτικὰ καὶ Παροίνια. Fr. 18. Ath. XI, 782, E. Καὶ Βακχυλίδης· εὖτε κτλ. 2. Ath. ἐντείνουσα, sed XV, 667, C. (Βακχ. ἐν Ἐρωτικοῖς) ἀντείνασα. Cfr. ad Anacr. fr. 33. de voce ἀγκύλη. Neuius ad τὴν ἐπ' ἀγκ. supplet πρόεσιν.

Fr. 19. 20. Hephaestio 130. Ἔστι δέ τινα καὶ τὰ καλούμενα ἐπιφθεγματικά, ἃ διαφέρει ταύτῃ τῶν ἐφυμνίων, ὅτι τὰ μὲν ἐφύμνια καὶ πρὸς νοῦν συντελεῖ, τὰ δὲ ἐπιφθεγματικὰ καὶ ἐκ περιττοῦ, ὡς πρὸς τὸ λεγόμενον, τῇ στροφῇ πρόσκειται, οἷον τὸ Βακχυλίδου· Ἦ κτλ. καὶ πάλιν παρὰ τῷ αὐτῷ Βακχυλίδῃ· Σὺ κτλ. 1. ἐρᾷς Ursinus: vulgo ὁρᾷς. 2. μούνῳ ed. Flor.

21.

Στρ. ά. Γλυκεῖ' ἀνάγκα
σευομένα κυλίκων θάλπησι θυμόν,
Κύπριδος δ' ἐλπὶς διαιθύσσει φρένας
Στρ. β. ἀμμιγνυμένα Διονυσίοισι δώροις.
ἀνδράσι δ' ὑψοτάτω πέμπει μερίμνας·
αὐτιχ' ὁ μὲν πόλεων κρήδεμνα λύει,
πᾶσι δ' ἀνθρώποις μοναρχήσειν δοκεῖ·
Στρ. γ'. χρυσῷ δ' ἐλέφαντί τε μαρμαίρουσιν οἶκοι,
πυροφόροι δὲ κατ' αἰγλήεντα [καρπὸν]
νῆες ἄγουσιν ἀπ' Αἰγύπτου, μέγιστον
πλοῦτον· ὣς πίνοντος ὁρμαίνει κέαρ.

22.

Οἱ βοῶν πάρεστι σώματ', οὔτε χρυσὸς, οὔτε πορφύρεοι
τάπητες, ἀλλὰ θυμὸς εὐμενής,
Μοῦσά τε γλυκεῖα καὶ Βοιωτίοισιν ἐν σκύφοισιν οἶνος ἡδύς.

VIII. Ἐξ ἀδήλων εἰδῶν.

23.

Ὦ Τρῶες Ἀρηΐφιλοι, Ζεὺς ὑψιμέδων, ὃς ἅπαντα δέρκεται,

Fr. 21. Athen. II, 39, E. F. *Βακχυλίδης φησὶ· Γλυκεῖ' κτλ.* Carmen rectius descriptum dedit Bergkius Anacr. 200.; fuit autem monostrophicum. 1. *γλυκεῖ' ἀν.*, *ebrietas quae mentem sui compotem esse non patitur.* 3. *διαιθύσσει* Erfurdtius; libri δ' *αἰθύσσει.* 4. Libri *ἀναμιγνυμένα*; correxit Neuius. Boeckhius *ἀμμιγνυμένας.* 5. Intellige: *Spes erigit mentem et ampliora sperare jubet.* Ovid. Art. Am. I, 239. *Tunc pauper cornua sumit.* 6. Libri *αὐτὸς* (*αὐτὴ* C) *μὲν πόλεων κρήδεμνον λύει*: *αὐτίχ' ὁ μὲν* Bergkius, *κρήδεμνα* (Il. *Π*, 100.) Neuius: *λύσειν* voluit Erfurdtius. At sic et *φύειν* (Alcaeus) et *κλύειν* (Phoenix) producta *υ* interdum reperiuntur. Et ipsum *λύειν* jam Odyss. *H*, 74. Teleclid. ap. Plut. Pericl. XVI. 8. Cfr. Dissen. Pind. Frr. 671. 9. *καρπὸν* addidit Bergkius: *πόντον* Erfurdtius. 10. *ἐπ'* BCD.

Fr. 22. Ath. XI, 500, B. *Μνημονεύει τῶν Βοιωτικῶν σκύφων* (Bentlej. Opuscc. 215.) *Βακχυλίδης ἐν τούτοις, ποιούμενος τὸν λόγον πρὸς τοὺς Διοσκούρους, καλῶν αὐτοὺς ἐπὶ ξενίᾳ· Οὐ κτλ.*

VIII. *Ἐξ ἀδήλων εἰδῶν.* Fr. 23. Clemens Al. Stromm.

οὐκ αἴτιος θνατοῖς μεγάλων ἀχέων· ἀλλ' ἐν μέσῳ κεῖται κιχεῖν
πᾶσιν ἀνθρώποισι λίκαν ὁσίαν,
ἀγνὰν Εὐνομίας ἀκόλουθον καὶ πιυτᾶς Θέμιδος·
ὀλβίων παῖδές νιν εὑρόντες σύνοικον.

24.

Ἕστα δ' ἐπὶ λαΐνου οὐδόν, τοὶ δὲ θοίνας ἔντυον ὦδέ τ' ἔφα·
Αὐτόματοι δ' ἀγαθῶν δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι
φῶτες.

25.

Οἱ μὲν ἀδμᾶτες ἀεικελιᾶν
νούσων ἄνατοί τ', οὐδὲν ἀνθρώποις ἴκελοι.

26.

Παύροισι δὲ θνατῶν τὸν ἅπαντα χρόνον δαίμων ἔδωκεν
πράσσοντας ἐν καιρῷ πολιοκρόταφον
γῆρας ἱκνεῖσθαι, πρὶν ἐγκῦρσαι δύᾳ.

V, 731. Ὦ Τρῶες Ἄρ., ὁ Λυρικός φησι, Ζεὺς κτλ. Cassandra fata Trojae vaticinatur, cfr. Porphyrio in Horat. Carm. I, 15. Mueller. Encycl. Ersch. et Gruber. s. v. Pallas p. 99. Bacchylidi haec jam Sylburgius dedit. 3. ἁγνὰν seclusit Neuius cum Boeckhio. 5. Vulgo ὦ νιν, Brunckius οἵ νιν: delevit Neuius.

Fr. 24. Ath. V, 178, B. Βακχυλίδης περὶ Ἡρακλέους λέγων ὡς ἦλθεν ἐπὶ τὸν τοῦ Κήϋκος οἶκον, φησίν· Ἕστα κτλ. 1. ἔντυον Neuius: libri ἔντυνον, εὔτυνον. ἔφα Neuius: ἔφασ' PVL: ἔφασκ' Stephanus. 2. δ' delet Brunckius. Bacchylides sectatus est Hesiodum, qui Herculem ἐπιφοιτήσαντα ἐπὶ τὴν οἰκίαν Κήϋκος τοῦ Τραχινίου sic locutum fecerat: Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν, Zenob. II, 19. ubi v. notas nostras.

Fr. 25. Clem. Al. Stromm. V, 715. Ἀκούσωμεν Βακχυλίδου τοῦ μελοποιοῦ περὶ τοῦ θείου λέγοντος· Οἱ μὲν ἀδμῆτες ἀεικελίαν νούσων εἰσὶ καὶ ἄνατοι κτλ. ἄνατοι Schaeferus Melett. Critt. 137., vulgo ἀναίτιοι: τ' inseruit Neuius. Jacobsius καὶ ἄναιμοι κοὐδέν.

Fr. 26. Clemens Al. Stromm. VI, 745. Βακχυλίδου εἰρηκότος· Παύροισι κτλ. 1. Vulgo τῷ δαίμονι δῶκε: emendavit Brunckius et Neuius. 2. πράσσοντα vulgo: correxit Stephanus.

27.

Οὐ γὰρ ὑπόκλοπον φορεῖ
βροτοῖσι φωνάεντα λόγον σοφία.

28.

Θνατοῖσι δ' οὐκ αὐθαίρετοι
οὔτ' ὄλβος οὔτ' ἄκαμπτος Ἄρης οὔτε πάμφθερσις στάσις,
ἀλλ' ἐπιχρίμπτει νέφος ἄλλοτ' ἐπ' ἄλλαν γᾶν
ἃ πάνδωρος αἶσα.

29.

Εἰ δὲ λέγει τις ἄλλως, πλατεῖα κέλευθος.

30.

Μελαγκευθὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου.

31.

Τὰν ἀχείμαντόν τε Μέμφιν καὶ δονακώδεα Νεῖλον.

32.

Ἑκάτα, δαδοφόρου Νυκτὸς
μεγαλοκόλπου θύγατερ.

Fr. 27. Clemens Al. Paedag. III, 310. *Οὐ γὰρ ὑ. φ. βρ. φ. λ. ἔστασι λόγος σοφία, ὥς φησι Βακχυλίδης.* Ex codd. *ἔστε* et *σοφίας* affertur; sequor Neuium.

Fr. 28. Stob. Eclogg. I, 9, 166. 3. 4. *γαῖαν ἃ π. αἶσα* mavult Boeckhius.

Fr. 29. Plut. Num. IV. *Εἰ δὲ λ. τ. ἄ., κατὰ Βακχυλίδην, πλ. κέλευθος.* Cfr. Neuii Bacchyl. 6. et Disseu. Pind. Nem. VI, 47.

Fr. 30. Et. M. et Bachmann. Ann. I, 208, 13. *Εἴδωλον: σκιοειδὲς ὁμοίωμα· ἢ φαντασία σώματος· σκιά τις ἀεροειδής, ὡς καὶ Βακχυλίδης· Μελαγκεθὲς κτλ.* Suidas v. *εἴδωλον* habet *μελαμβαφές:* nostrum (*pulla veste amictus*) debetur Neuio. Dicitur Ulixes, qui mendici habitu Trojam intravit, v. Hom. Odyss.

Fr. 31. Ath. I, 20, D. *Βακχυλίδης φησί· Τὴν κτλ.*

Fr. 32. Scholl. Ap. Rh. III, 467. *Βακχυλίδης Νυκτός φησιν αὐτὴν* (Hecaten) *θυγατέρα· Ἑκάτα κτλ.* 1. *δαϊφόρου*

33.

Ἁβρότητι ξυνέασιν Ἴωνες βασιλῆες.

34.

Χρυσὸν βροτῶν γνώμαισι μανύει καθαρόν.

35.

Ὀργαὶ μὲν ἀνθρώπων διακεκριμέναι μυρίαι.

IX. Ἐπιγράμματα.

36.

Κούρα Πάλλαντος πολυώνυμε, πότνια Νίκα,
πρόφρων Κραναίων ἱμερόεντα χορὸν
αἰὲν ἐποπτεύοις, πολέας δ' ἐν ἀθύρμασι Μουσᾶν
Κηΐῳ ἀμφιτίθει Βακχυλίδῃ στεφάνους.

Paris. δᾳδοφόρος vel δᾳδοφόρε emendant: Neuius Νύκτα δᾳδοφόρον vindicat cll. Millin. Gall. Myth. № 168. 2. μελανοκόλπου Ursinus. Est fortasse ex ὕμνῳ ἀποπεμπτικῷ, v. Menander Rhet. IX, 132. 140. Walz.

Fr. 33. Ioann. Sicel. Walzii VI, 241. Ἁβροὶ τὸ παλαιὸν οἱ Ἴωνες, ὥς που καὶ Βακχυλίδης φησί· Ἁβρότητι κτλ. τὸν σφῶν αὐτῶν ῥυθμὸν δηλῶν. Contra Anonymi Scholl. VII, 982. tanquam Bacchylidea praebent haec: Τῶν ἁβροβίων Ἰώνων ἄναξ, cfr. Exx. Critt. IV, 24.

Fr. 34. Priscianus Metr. Com. 1328. *Bacchylides:* Χρυσὸν κτλ. *Hic quoque iambicus in fine tribrachum habuit.* Aldus πολίεσσιν ἀνύει. Cfr. Hermann. Opuscc. II, 261.

Fr. 35. Zenobius III, 25. Αἰχολοι γνῶμαι: παρὰ τὸ δίχα, ἰδιότροποι, κατὰ μετάληψιν. Χόλος γὰρ ἡ ὀργή, ὀργὴ δὲ τρόπος. Βακχυλίδης· Ὀργαὶ κτλ. Cfr. Hesych. s. v. Sed Schol. Hippocr. v. ὀργᾶν Foes. haec sic concepta: Ἐν μὲν ἀνθρώπῳ ὀργαὶ βεβριμέναι Alcmani tribuit, v. Ruhnken. Ep. Crit. 205. Welcker. Alcm. 81.

IX. Ἐπιγράμματα. 36. Anth. Pal. VI, 313. 2. Κραναίων, erat δῆμος Κραναὴ τῆς Ἀττικῆς, Steph. Byz. De Victoria Pallantis filia v. Hes. Theog. 383. 4. Codex Κηΐρω ἀμ. Βακχυλίδης.

37.

Εὔδημος τὸν νηὸν ἐπ᾽ ἀγροῦ τόνδ᾽ ἀνέθηκεν
τῷ πάντων ἀνέμων πιοτάτῳ Ζεφύρῳ,
εὐξαμένα ὅ οἱ ἦλθε βοαθόος, ὄφρα τάχιστα
λιχμήσῃ πεπόνων καρπὸν ἀπ᾽ ἀσταχύων.

XXII. Ariphronis Sicyonii Paean.

Olymp. ?

Ὑγίεια, πρεσβίστα μακάρων, μετὰ σεῦ ναίοιμι τὸ λειπόμενον
βιοτᾶς, σὺ δέ μοι πρόφρων σύνοικος ἔῃς·
εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων,
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώποις βασιληΐδος ἀρχᾶς,
ἢ πόθων, οὓς κρυφίοις Ἀφροδίτας ἄρκυσιν θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις ἢ πόνων ἀμπνοὰ πέφανται,
μετὰ σεῖο, μάκαιρ᾽ Ὑγίεια,

---

37. Anth. Pal. VI, 53. 2. *πιοτάτῳ*, v. Suid. s. v., qui affert v. l. 2. explicans *θρεπτικόν, αὐξητικόν*. Schneiderus *πρηϋτάτῳ*, ego *πιστοτάτῳ* conjectabam. 3. Vulgo *γάρ οἱ*: sequor Hermann. Orph. 785.

Ariphronis Sicyonii Paean. Athen. XV, 702, A. *Παιᾶνα εἰς Ὑγίειαν ἐποίησε τόνδε Ἀρίφρων ὁ Σικυώνιος· Ὑγίεια κτλ.* Lapidi incisum carmen prope Athenas reperto, v. Boeckh. C. I. I, 477 sq. *Ἀρχαῖον ᾆσμα* vocat Max. Tyr. XIII, 229., *γνωμικώτατον ἐκεῖνο καὶ πᾶσι διὰ στόματος* Lucianus pro Lapsu VI. Ceterum valde memorabilis locus Sext. Emp. adv. Math. 447, C. *Λικύμνιος δὲ προειπὼν ταῦτα·*

Λιπαρόμματε μᾶτερ ὑψίστων θρόνων
σεμνῶν Ἀπόλλωνος βασίλεια ποθεινὰ
πραϋγέλως Ὑγίεια,

ποῖον ὑψηλὸν ἐπιφέρει·

Τίς γὰρ πλούτου χάρις ἢ τοκήων
ἢ τᾶς ἰσοδαίμονος ἀνθρώπου βασιληΐδος ἀρχᾶς·
σέθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

Cfr. Ilgen. Scol. 120. et 193. Koester. de Cantil. Popularr. 68 sqq. 2. *σύνοικος*, Bacchylid. fr. 23, 5. 4. *ἢ* addidit Boeckhius. *ἰσοδαίμονος*, comparant *ἰσόθεος τυραννὶς* Eurip. Troadd. 1169.

τέθαλε πάντα καὶ λάμπει Χαρίτων ἔαρ·
σίθεν δὲ χωρὶς οὔτις εὐδαίμων ἔφυ.

XXIII. Euripidis Epinicium Alcibiadi.

Σὲ δ' ἀείσομαι, ὦ Κλεινίου παῖ·
καλὸν ἁ νίκα· κάλλιστον δ', ὃ μηδεὶς ἄλλος Ἑλλάνων,
ἅρμασι πρῶτα δραμεῖν καὶ δεύτερα καὶ τρίτα,
βῆναί τ' ἀπονητὶ τρὶς στεφθέντ' ἐλαίᾳ
κάρυκι βοᾶν παραδοῦναι. 5

XXIV. Aristotelis Stagiritae carmen.

Olymp. CIX, 3.

Ἀρετά, πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ,

---

8. καὶ τέθαλε Boeckhius. ἔαρ VL: ὅαρ C et margo Epit. Hoeschel., quae in textu ὅαρι praebet. *Tecum florent omnia et instar veris, quod Gratiae reddunt pulcrum, affulgent.* 9. ἔφυ ex Licymnii loco additum.

Euripidis Epinicium Alcibiadi. Plut. Alcib. XI. *Αἱ δ' ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ πλήθει τῶν ἁρμάτων. ἑπτὰ γὰρ ἄλλος οὐδεὶς καθῆκεν Ὀλυμπίασιν Ἑλλήνων οὐδὲ βασιλεύς, μόνος δ' ἐκεῖνος· τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέσθαι καὶ τέταρτον, ὡς Θουκυδίδης* (VI, 16. ibique Goeller.) *φησίν, ὁ δ' Εὐριπίδης τρίτον, ὑπερβάλλει λαμπρότητι καὶ δόξῃ πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν. Λέγει δ' ὁ Εὐριπίδης ἐν τῷ ᾄσματι ταῦτα· Σέ κτλ.* Cfr. Ath. I, 3, D.

2. ὃ μηδεὶς ἄλλος, scil. ἐποίησε. 4. τ' codd. Paris. Vulgo δ'. τρὶς Reiskius: libri δίς. Ceterum Plut. Demosth. I. *Ὁ γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς Ὀλυμπίασιν ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ' Εὐριπίδης, ὡς ὁ πολὺς κρατεῖ λόγος, εἴθ' ἕτερός τις ἦν, φησὶ χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὴν πόλιν εὐδόκιμον.* Idem, opinor, carmen obversabatur Ammiano Marc. XIV, 6. *Ut enim Simonides Lyricus docet, beate perfecta ratione victuro ante ulla patriam convenit esse gloriosam.*

σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος
καὶ πόνους τλῆναι μαλερούς ἀκάμαντας·
τοῖον ἐπὶ φρένα βάλλεις
καρπόν τ' ἀθάνατον χρυσοῦ τε κρείσσω
καὶ γονέων μαλακοῦ θ' ἡδίον' ὕπνου·
σεῦ δ' ἕνεχ' οὐκ Διὸς Ἡρακλῆς Λήδας τε κοῦροι
πόλλ' ἀνέτλασαν ἔργοις
σὰν ἀγρεύοντες δύναμιν.
σοῖς δὲ πόθοις Ἀχιλλεὺς Αἴας τ' Ἀΐδαο δόμους
ἤλυθον· σᾶς δ' ἕνεκεν φιλίου
μορφᾶς καὶ Ἀταρνέος ἔντροφος ἀελίου χήρωσεν αὐγάς·
τοιγὰρ ἀοίδιμος ἔργοις, ἀθάνατόν τέ μιν αὐξήσουσι Μοῦσαι
Μναμοσύνας θύγατρες,
Διὸς ξενίου σέβας αὔξουσαι φιλίας τε γέρας βεβαίου.

Aristotelis Stagiritae carmen. Athen. 695, A. Ἀλλὰ μὴν καὶ τὸ ὑπὸ τοῦ πολυμαθεστάτου γραφὲν Ἀριστοτέλους εἰς Ἑρμείαν τὸν Ἀταρνέα οὐ παιάν ἐστιν, ὡς ὁ τὴν τῆς ἀσεβείας κατὰ τοῦ φιλοσόφου γραφὴν ἀπενεγκάμενος Δημόφιλος, εἰς αἰδῶ τε παρασκευασθεὶς ὑπ' Εὐρυμέδοντος, ὡς ἀσεβοῦντος καὶ ᾄδοντος ἐν τοῖς συσσιτίοις ὀσημέραι εἰς τὸν Ἑρμείαν παιᾶνα. ὅτι δὲ παιᾶνος, οὐδεμίαν ἔμφασιν παρέχει τὸ ᾆσμα, ἀλλὰ τῶν σκολίων ἔν τι καὶ αὐτὸ εἶδός ἐστιν, ἐξ αὐτῆς τῆς λέξεως φανερὸν ὑμῖν ποιήσω· Ἀρετὰ κτλ. Affert et Diog. Laert. V, 7. De Hermia Atarnita v. Stahr. Aristotel. I, 75. Carmen illustravit Jacobsius Anthol. Commentar. I, 1. p. 362 sqq., Ilgenius Scoll. 137 sqq. 5. ἀκαμάτους ABCP: illud Diogenes. 7. καρπὸν εἰς ἀθ. Diogenes: mitto prava tentamina doctorum. Καρπὸν dicit ἀθάνατόν (τε) χρυσοῦ τε κρείσσω. Sic τε praeponitur Aesch. Choeph. 128. ἐποικτείρειν τ' ἐμὲ φίλον τ' Ὀρέστην, v. Wellauer. Aesch. Prom. 42. κρείσσω AB: κρέσσω PVL: κρεῖσσον Diogenes. 8. Vulgo μαλακαυγήτοιό θ' ὕπνου: Diogenes μαλακαυγητοῖο, cod. Cantabrig. μάλα καυγῇ τοῖο: Athenaei edd. VL μαλακαυγῇ τοῖο, cod. P μάλα κἀυγήτοιο. Id monstrum mihi videor perdomuisse. Sed fortasse lenius etiam correxeris μαλακοῦ τε λῳὸν ὕπνου. Editores μεγαλαυχήτοιο, μαλακωτάτοιο conjectarant. 9. Hercules et Dioscuri exempla virtutis Hor. Epp. II, 1, 5 sqq. Carmm. I, 12, 25. 11. ἀναγορεύοντες Diogenes. 14. χήρευσεν αὐγᾶς Maittarius. Athenaeus sensum verborum recte expressit statim post: τετελευτηκέναι τὸν Ἑρμείαν. 15. ἀοίδιμον Pal. ἀθάνατοι Diogenes. 17. βεβαίας Athenaeus.

XXV. Ithyphallus in Demetrium Poliorcetem.

Olymp. CXVIII, 2.

Ὡς οἱ μέγιστοι τῶν θεῶν καὶ φίλτατοι
τῇ πόλει πάρεισιν·
ἐνταῦθα γὰρ Δήμητρα καὶ Δημήτριον
ἅμα παρῆγ᾽ ὁ καιρός.
χὴ μὲν τὰ σεμνὰ τῆς Κόρης μυστήρια
ἔρχεθ᾽ ἵνα ποιήσῃ,
ὁ δ᾽ ἵλαρὸς, ὥσπερ τὸν θεὸν δεῖ, καὶ καλὸς
καὶ γελῶν πάρεστι·
σεμνὸν, ὅθι φαίνεθ᾽, οἱ φίλοι πάντες κύκλῳ,
ἐν μέσοισι δ᾽ αὐτὸς,
ὅμοιος, ὥσπερ οἱ φίλοι μὲν ἀστέρες,
ἥλιος δ᾽ ἐκεῖνος.
ὦ τοῦ κρατίστου παῖ Ποσειδῶνος θεοῦ,
χαῖρε, κἀφροδίτης.

Ithyphallus in Demetrium Poliorcetem. Athen. VI, 253, B. Φησὶν ὁ Δημοχάρης ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ γράφων· ν᾽Ἐπανελθόντα δὲ τὸν Δημήτριον ἀπὸ τῆς Λευκάδος καὶ Κερκύρας εἰς τὰς Ἀθήνας οἱ Ἀθηναῖοι ἐδέχοντο οὐ μόνον θυμιῶντες καὶ στεφανοῦντες καὶ οἰνοχοοῦντες, ἀλλὰ καὶ προσόδια καὶ χοροὶ καὶ ἰθύφαλλοι μετ᾽ ὀρχήσεως καὶ ᾠδῆς ἀπήντων αὐτῷ, καὶ ἐφιστάμενοι κατὰ τοὺς ὄχλους ᾖδον ὀρχούμενοι καὶ ἐπᾴδοντες ὡς εἴη μόνος θεὸς ἀληθινὸς, οἱ δ᾽ ἄλλοι καθεύσουσιν, ἢ ἀποδημοῦσιν, ἢ οὐκ εἰσὶ, γεγονὼς δ᾽ εἴη ἐκ Ποσειδῶνος καὶ Ἀφροδίτης, τῷ δὲ κάλλει διάφορος καὶ τῇ πρὸς πάντας φιλανθρωπίᾳ κοινός· δεόμενοι δ᾽ αὐτοῦ ἱκέτευον, φησὶ, καὶ προσηύχοντο.« Ὁ μὲν οὖν Δημοχάρης τοσαῦτα εἴρηκε περὶ τῆς Ἀθηναίων κολακείας· Δοῦρις δ᾽ ὁ Σάμιος ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν ἱστοριῶν καὶ αὐτὸν τὸν ἰθύφαλλον, Ὡς οἱ μέγιστοι κτλ. Demetrius Poliorcetes, Antigoni filius, Ol. CXVIII, 2. expulit Demetrium Phalereum, v. Diod. Sic. XX, 45 sq. 3. Libri ἐνταῦθα δημήτριος: Δημήτριον Casaubonus: γὰρ Δήμητρα καὶ Toupius interposuit. 4. παρῆν libri: correxit Porsonus. Tempus dicitur mysteriorum, quo tempore venit Demetrius. 9. σεμνὸς VL. 11. εἰ Toupius.

ἄλλοι μὲν ἢ μακρὰν γὰρ ἀπέχουσιν θεοὶ,
ἢ οὐκ ἔχουσιν ὦτα,
ἢ οὐκ εἰσὶν, ἢ οὐ προσέχουσιν ἡμῖν οὐδὲ ἕν·
σὲ δὲ παρόνθ' ὁρῶμεν,
οὐ ξύλινον οὐδὲ λίθινον, ἀλλ' ἀληθινόν·
εὐχόμεσθα δή σοι·
πρῶτον μὲν εἰρήνην ποίησον, φίλτατε,
κύριος γὰρ εἶ σύ·
τὴν δ' οὐχὶ Θηβῶν, ἀλλ' ὅλης τῆς Ἑλλάδος
Σφίγγα περικρατοῦσαν,
Αἰτωλὸς ὅστις ἐπὶ πέτρας καθήμενος,
ὥσπερ ἡ παλαιὰ,
τὰ σώμαθ' ἡμῶν πάνθ' ἁναρπάσας φέρει,
κοὐκ ἔχω μάχεσθαι·
(Αἰτωλικὸν γὰρ ἁρπάσαι τὰ τῶν πέλας,
νῦν δὲ καὶ τὰ πόῤῥω·)
μάλιστα μὲν δὴ κόλασον αὐτός· εἰ δὲ μή,
Οἰδίπουν τιν' εὑρὲ,
τὴν Σφίγγα ταύτην ὅστις ἢ κατακρημνιεῖ,
ἢ σπίνον ποιήσει.

XXVI. Melinnûs Locrensis (?) carmen in urbem Romam.

Olymp. CXXIV. (?)

De Melinnone egit Welckerus in Creuzeri Melett. II, 18 sqq. Langius in Scriptis Minorr. ed. Jacob. 125 sqq. et nos in Zimmermanni Diar. Philoll. 1837, 25. p. 212 sqq., ubi conjecimus,

---

24. περιπατοῦσαν libri: περικρατοῦσιν Casaubonus. Intelligitur vel Cassander, vel Polysperchon. 25. Αἰτωλὸς ABP: αἰτωλὸν DQ: αἰτωλίδ' CVL. 26. ἡ παλαιὰ Casaubonus: ἡ πάλαι VL: οἱ πάλαι P. 31. σχόλασον libri: correxit Toupius. 34. Libri σπεῖνον, σπεινὸν, πεινῆν: correxit Jacobsius. Fortasse a quibusdam Sphinx vetus in istam avem transmutata esse fingebatur.

Melinnonem Locrensem Epizephyriam (v. Nossidis Epigr. Anth. Pal. VI, 353.) Romanis victoribus hoc carmine adulatam esse, quum a. u. 469. (475.) Pyrrhi militibus, qui urbem tenebant, trucidatis Locros occupassent, v. Liv. IX, 16. Niebuhr. H. R. III, 604. Quanquam possit quis in primi belli Punici tempora malle detrudere carmen propter imperium maritimum v. 10. commemoratum: nisi forte, ut Mehlhornius observat, adulationi, quae per totum carmen conspicua est, hoc tribuere malis.

Χαῖρέ μοι Ῥώμα, θυγάτηρ Ἄρηος,
χρυσεόμιτρα, δαΐφρων ἄνασσα,
σεμνὸν ἃ ναίεις ἐπὶ γᾶς Ὄλυμπον
αἰὲν ἄθραυστον.
σοὶ μόνᾳ πρέσβειρα δέδωκε Μοῖρα
κῦδος ἀρρήκτω βασιλῆον ἀρχᾶς,
ὄφρα κοιρανῆον ἔχοισα κάρτος
ἀγεμονεύῃς·
σᾷ δ' ὑπὸ σθεύλᾳ κρατερῶν λεπάδνων
στέρνα γαίας καὶ πολιᾶς θαλάσσας
σφίγγεται· σὺ δ' ἀσφαλέως κυβερνᾷς
ἄστεα λαῶν.
Πάντα δὲ σφάλλων ὁ μέγιστος αἰὼν
καὶ μεταπλάσσων βίον ἄλλοτ' ἄλλως
σοὶ μόνᾳ πλησίστιον οὖρον ἀρχᾶς
οὐ μεταβάλλει.
Ἦ γὰρ ἐκ πάντων σὺ μόνα κρατίστους
ἄνδρας αἰχματὰς μεγάλους λοχεύεις,

Melinnus Locrensis (?) carmen in urbem Romam. Stob. Flor. VII, 13. *Μελιννοῦς Λεσβίας (?) εἰς Ῥώμην.* 2. *Χρυσεόμιτρε* A. Mitra divinitatis signum. 3. Terra Romae Olympus dicitur. Mehlhornio augusta sedes in universum dici videbatur. *ἃ ναίεις* Grotius: libri *ἂν αἷς, ἂν αἷς.* 4. *ἄθραυστος* Gesneri Margo, v. Odyss. Z, 42. *θεῶν ἕδος ἀσφαλὲς αἰεί.* 5. Vulgo *πρέσβυς τὰ:* A *πρέσβιστα:* Gesneri Margo quod expressimus. 6. *ἔχουσα* libri. 10. *στέρνα*, Hes. Theog. 117. *γαῖ' εὐρύστερνος.* Soph. O. C. 691. 18. Vulgo *μεγάλως:*

εὐσταχυν Δάματρος ὅπως ἀνεῖσα
καρπὸν ἀπ' ἀνδρῶν.

XXVII. Scolia et cantilenae populares.

1. Callistrati Scolium.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτε τὸν τύραννον κτανέτην
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

---

illud A. 19. Sic A: vulgo *συνείσω:* Gesneri Margo *συνοίσῃ:* Grotius *συνοίσῃς.*

Scolia et cantilenae populares. 1. Callistrati Scolium servavit Ath. XV, 695, A sqq. apud quem stropha quaeque per se constat. Hesychius Ἁρμοδίου μέλος· τὸ ἐπὶ Ἁρμοδίῳ ποιηθὲν σκόλιον ὑπὸ Καλλιστράτου οὕτως ἔλεγον. Adde Arist. Ach. 990. 1058. Scholia priore loco: Ἐν ταῖς τῶν πότων συνόδοις ᾠδόν τι μέλος Ἁρμοδίου καλούμενον, οὗ ἡ ἀρχή· Φίλτατε Ἁρμόδιε, οὔ τί που τέθνηκας. Cfr. Bergkii Comm. Com. Att. 226 sqq. Ex illo Schol. testimonio Fritzschius Quaestt. Aristoph. I, 48 sqq. evincere studuit, alteram stropham esse praeponendam: idem Antistropham facit haec:

Οὐδεὶς πώποτ' ἀνὴρ ἔγεντ' Ἀθήναις
οὐχ οὕτω γε [πόλει καλὸς πολίτης.]

Duxit haec ex Aristoph. Vespp. 1226., ubi Bdelycleo:

Ἐγὼ εἴσομαι· καὶ δὴ γάρ εἰμ' ἐγὼ Κλεώνυμος,
ᾄδω δὲ πρῶτος Ἁρμοδίου· δέξει δὲ σύ·
Οὐδεὶς πώποτ' ἀνὴρ ἐγένετ' Ἀθηναῖος (ἔγεντ' Ἀθήναις Bentlejus): tum Philocleo:
Οὐχ οὕτω γε πανοῦργος, ὡς σὺ, κλέπτης.

Tum Fritzschio stropham *β'* facit Athenaei stropha *α'*; antistropham *β'* Athenaei stropha tertia: stropham tertiam deesse statuit; antistropham *γ'* facit Athenaei quartam. — Nobis nihil aliud ex illo Scholiastae testimonio apparere videtur, nisi multo usu variatum fuisse ordinem scolii. 1. Alludit Arist. Lys. 632 sq. κλαδί, Buttm. Gr. Max. I, 221. 4. ἰσονόμους, cfr. tamen prae reliquis Thuc. VI, 54 sqq. I, 20.

Φίλταθ' Ἁρμόδι, οὔ τί που τέθνηκας,
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεὺς,
Τυδεΐδην τέ φασιν Διομήδεα.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρχον ἐκαινέτην.

Ἀεὶ σφῶν κλέος ἔσσεται κατ' αἶαν,
φίλταθ' Ἁρμόδιος κ' Ἀριστογείτων,
ὅτι τὸν τύραννον κτανέτην,
ἰσονόμους τ' Ἀθήνας ἐποιησάτην.

2. Hybriae Cretensis Scolium.

Στροφή.

Ἔστι μοι πλοῦτος μέγας δόρυ καὶ ξίφος,
καὶ τὸ καλὸν λαισήϊον πρόβλημα χρωτός·
τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω,
τούτῳ πατέω τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλω·
τούτῳ δεσπότας μνωΐας κέκλημαι.

Ἀντιστροφή.

Τοὶ δὲ μὴ τολμῶντ' ἔχειν δόρυ καὶ ξίφος
καὶ τὸ καλὸν λαισήϊον, πρόβλημα χρωτὸς,
πάντες γόνυ πεπτηῶτες ἀμὸν

8. Libri φασὶ τὸν ἐσθλὸν Διομήδεα. Correxit Lowthius. De Achille in insulas beatorum delato v. Pind. Ol. II, 79. ibique Intpp., de Diomede Nem. X, 7. et nos Ibyc. Rheg. 156 sqq. 10. Libri Ἁρμόδιε: illud Ilgenius. 11. ἐν θυσίαις, Panathenaeis, v. Thuc. l. c.

2) Hybriae Cretensis Scolium. Ath. XV, 695, F. Σκόλιον φασί τινες καὶ τὸ ὑπὸ Ὑβρίου τοῦ Κρητὸς ποιηθέν· ἔχει δ' οὕτως· Ἔστι κτλ. Descripsit Hermannus El. D. M. 463. 3. Cfr. Archilochi Eleg. fr. 2. 5. Libri μνοίας: correxit Hermannus. 6. Libri τολμῶντες: correctum ab eodem.

* * * κυνεῦντί τε δεσπόταν,
καὶ μέγαν βασιλῆα φωνέοντες.

Ἀδέσποτα.

3.

Παλλὰς Τριτογένει᾽, ἄνασσ᾽ Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας,
ἄτερ ἀλγέων καὶ στάσεων
καὶ θανάτων ἀώρων σύ τε καὶ πατήρ.

4.

Πλούτου μητέρ᾽, Ὀλυμπίαν ἀείδω
Δήμητρα στεφανηφόροις ἐν ὥραις,
σέ τε παῖ Διὸς Περσεφόνη,
χαίρετον, εὖ δὲ τάνδ᾽ ἀμφέπετον πόλιν.

5.

Ἐν Δήλῳ ποτ᾽ ἔτικτε τέκνα Λατὼ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ᾽ Ἀπόλλων᾽,
ἐλαφηβόλον τ᾽ ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν μέγ᾽ ἔχει κράτος.

6.

Ὦ Πὰν, Ἀρκαδίας μέδων κλεεννᾶς,
ὀρχηστὰ Βρομίαις ὀπαδὲ Νύμφαις,

---

9. Libri κυνέοντι omisso τε: lacunam indicavit et rell. emendavit Hermannus. 10. φωνέοντι VL et Eustathius. βασιλῆα Hermannus: libri βασιλέα.

3) Athen. XV, 694, C.

4) Athen. l. c. apud quem eundem reliqua quoque exstant Scolia eodem loco. 2. Δήμητραν Hermannus.

5) Versu 2. Ἀπόλλω Ilgenius.

6) Scolium Atticum, ut videtur, in Panem Atheniensibus in pugna Marathonia adjutorem, v. Boeckh. Frr. Pind. 692. 1. Libri μεδέων: correxit Hermannus.

γελάσειας, ὦ Πὰν, ἐπ' ἐμαῖς
εὐφροσύναις ἀοιδαῖς κεχαρημένος.

7.

Ἐνικήσαμεν, ὡς ἐβουλόμεσθα,
καὶ νίκην ἔδοσαν θεοὶ φέροντες
παρὰ Πανδρύσου ὡς φίλην Ἀθηνᾶν.

8.

Εἴθ' ἐξῆν ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐξιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί.

9.

Ἐκ γῆς * * χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο καὶ παλάμην ἔχοι·
ἐπεὶ δέ κ' ἐν πόντῳ γένηται,
τῷ παρεόντι τρέχειν ἀνάγκη.

10.

Ὁ καρκίνος ὧδ' ἔφα
χαλᾷ τὸν ὄφιν λαβών·
» Εὐθὺν χρὴ τὸν ἑταῖρον ἔμμεν
καὶ μὴ σκολιὰ φρονεῖν. «

---

3. Libri γελασίαις: correxit Valckenarius.

7) Scolium cantatum, ut ait Muellerus de Minerv. Poliad. 22., in ἑστιάσει victoris Panathenaici. De corona oleagina suspensa in templo Minervae v. Apollod. III, 14, 1. Rami coronae decerpebantur ex moriis illis, quae in arce erant.

8) 3. πάλιν τ' conjicit Dindorfius. Ad sententiam cfr. Eurip. Hipp. 938. ibique Valckenarium. Traduxit Arist. Eccles. 969 sqq., cfr. Fritzsch. Quaestt. Arist. I, 49.

9) μὲν ἄνδρα inserunt, alii πόρρωθεν praeponunt. 3. Cfr. Horat. Epp. I, 18, 87.

10) 3. Εὐθὺν — ἔμμεν sola sunt scolii verba: proxima admonitio cancri est. Dindorfius.

11.

Παῖ Τελαμῶνος Αἶαν αἰχμητά, λέγουσί σε
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα·
τὸν Τελαμῶνα πρῶτον, Αἶαντα δὲ δεύτερον
ἐς Τροΐαν λέγουσιν ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα.

12.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φέροιεν Διονύσιον ἐς χορόν.
Εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
καί με καλὴ γυνὴ φοροίη καθαρὸν θεμένη νόον.

13.

Σύν μοι πῖνε, συνήβα, συνέρα, συστεφανηφόρει,
σὺν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει.

14.

Ὑπὸ παντὶ λίθῳ σκορπίος, ὦ ταῖρ', ὑποδύεται·
φράζευ, μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

15.

Ἃ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν·
κἀγὼ παῖδα καλὴν τὴν μὲν ἔχω, τὴν δ' ἔραμαι λαβεῖν.

16.

Πόρνη καὶ βαλανεὺς τωὐτὸν ἔχουσ' ἐμπεδέως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

---

11) Cfr. Theopomp. Ath. I, 23, E. Antiphan. XI, 503, E. 2. μετ' Ἀχιλλέα, v. Alcaei fr. 39. 4. Libri καὶ Ἀχιλλέα. Apud Ath. hi duo versus per se constant.

14) Cfr. Praxillae fr. 4., cujus haec variatio est.

16) Bergkius Comm. Com. Att. 227. hoc et Scolium 19. (v. ad Praxill. fr. 3.) Praxillae Sicyoniae esse suspicatur. 2. λόει, v. Hermann. Arist. Nubb. 837.

17.

Ἔγχει καὶ Κήδωνι, διάκονε, μηδ' ἐπιλήθου,
εἰ χρὴ τοῖς ἀγαθοῖς ἀνδράσιν οἰνοχοεῖν.

18.

Αἰαῖ, Λειψύδριον προδωσαίταιρον,
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν, οἵων πατέρων ἔσαν.

19.

Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλην ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.

20.

Κἀγὼ παιδοφιλήσω· πολύ μοι κάλλιον ἢ γαμεῖν·
παῖς μὲν γὰρ παρεὼν κἠν πολέμῳ μᾶλλον ἐπωφελεῖ.

21.

Πλεῖστον οὖλον οὖλον ἴει, ἴουλον ἴει.

---

17) *Ἔγχει κώθωνι* conjecit Canterus: *δὴ κώθωνι* Porsonus. 2. *εἰ δὴ χρὴ* libri: correxit Porsonus.

18) Et. M. 361, 32. *Ἐπὶ Λειψυδρίῳ μάχη: χώρα ὑπὸ τὴν Πάρνηθον, ἣν ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, οὗ οἱ Ἀλκμαιωνίδαι προεστήκεσαν· ἐκπολιορκηθέντων δ' αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον, σκόλιον εἰς αὐτοὺς ᾖδετο· Αἶ αἶ κτλ.* Herod. V, 62. 3. Hermannus *μάχεσθαί τ' ἀγαθοὺς γένει τ' εὐπ.*

19) Cfr. ad Scol. 16.

20) Ath. XV, 697, D. *Σέλευκον, τὸν τῶν ἱλαρῶν ᾀσμάτων ποιητήν· οὗπερ συνεχῶς ᾄδειν εἰώθασι· Κἀγὼ κτλ.*

De his cantilenis popularibus vide Zellii Ferienschrr. I, 53 sqq. Herm. Koester. de Cantilenis Popularibus veterum Graecorum. Berolin. MDCCCXXXI. Bernhardy Hist. Litt. Grr. I, 53 sq.

21) Ath. XIV, 618, D. *Σῆμος ὁ Δήλιος ἐν τῷ περὶ παιάνων φησί· Τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ' αὑτὰ προς-*

22.

Ἔξεχ', ὦ φιλ' ἥλιε.

23.

Παλλάδα περσέπολιν δεινὰν θεὸν, ἐγρεκύδοιμον, [ἀοιδαῖσι] ποτικλήζω πολεμαδόκον, ἀγνάν, παῖδα Διὸς μεγάλου, δαμνήπωλον, δαμάσιππον παρθένον.

ηγόρευον ἀμάλας· συναθροισθέντα δὲ καὶ ἐκ πολλῶν μίαν γενόμενα δέσμην οὖλους καὶ ἰούλους· καὶ τὴν Δήμητρα ὁτὲ μὲν Χλόην, ὁτὲ δὲ Ἰουλώ· ἀπὸ τῶν οὖν τῆς Δήμητρος εὑρημάτων τούς τε καρποὺς καὶ τοὺς ὕμνους τοὺς εἰς τὴν θεὸν οὖλους καλοῦσι καὶ ἰούλους. δημήτρουλοι καὶ καλλίουλοι. Καὶ Πλεῖστον κτλ. ἄλλοι δέ φασιν ἐριουργῶν εἶναι τὴν ᾠδήν. Adde Eratosthenem et Didymum Scholl. Ap. Rh. I, 972.

22) Pollux IX, 7. *Ἡ δὲ Ἔξεχ' ὦ φιλ' ἥλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπόταν νέφος ἐπιδράμῃ τὸν θεόν· ὅθεν καὶ Στράττις ἐν Φοινίσσαις· Εἶθ' ἥλιος μὲν πείθεταί τοῖς παιδίοις, Ὅταν λέγωσιν· Ἔξεχ', ὦ φιλ' ἥλιε.* Cfr. Ael. Dionys. Eustath. Il. 881, 42. Ath. XIV, 619, B. Aristoph. *Νήσων* fr. IV. Dindorf.

23) Arist. Nubb. 960. *Εἶτ' αὖ προμαθεῖν ἆσμ' ἐδίδασκεν, τὼ μηρὼ μὴ ξυνέχοντας, ἢ Παλλάδα περσέπολιν δεινὰν ἢ Τηλέπορόν τι βόαμα* (Cydiae Hermion. fr. 2.) Scholia: *εἴδη ᾀσμάτων ἀμφότερα, τὸ Παλλάδα περσέπολιν δεινάν — Λαμπροκλέους εἶναί φασιν Ἀθηναίου, τοῦ Μίδωνος υἱοῦ· ἔχει δὲ οὕτως· Π. π. κλήζω πολεμαδόκον ἀγνάν, Παῖδα Διὸς μεγάλου δαμάσιππον.* Et postea: *Φρύνιχος αὐτοῦ τούτου τοῦ ᾄσματος μέμνηται, ὡς Λαμπροκλέους ὄντος, τοῦ Μίδωνος υἱοῦ ἢ μαθητοῦ. ἔχει δὲ οὕτως· Π. π. δεινὰν θεὸν ἐγρεκύδοιμον, ποτικλήζω πολεμαδόκον ἀγνάν, παῖδα Διὸς μεγάλου δαμάσιππον, καὶ κατὰ Λαμπροκλέα ὑποτίθησι κατὰ λέξιν.* Scholl. Aristid. 203. Frommel. (538. Dindorf.) *Π. περσέπτολιν πλεισοπολεμοδόκον, ἀγνὴν παῖδα Διὸς μεγάλα δαμνηπώλον ἄϊστον* (al. *ἄριστον*) *παρθένον.* Tzetza Chill. I, 683. priorem versum exhibet, ut Scholl. Aristoph., in altero scribit *παῖδα Διὸς μεγάλου, δαμόπωλον, ἄϊστον παρθένον.* Constituit probabiliter Hermannus Scholl. Arist. 340.: aliter Kleinius Stesich. fr. XCVII. Carmen, ut fit, varie immutatum. 3. Soph. O. C. 705. *εὔιππον, εὔπωλον, εὐθάλασσον.* Ad eundem hymnum rettuli

24.

Ἔλθειν ἥρως Διόνυσε,
Ἄλιον ἐς ναὸν ἁγνὸν
σὺν Χαρίτεσσιν·
ἐς ναὸν βοέῳ ποδὶ ἰόντων,
ἄξιε ταῦρε,
ἄξιε ταῦρε.

25.

Πόρρω παῖδες πόδα μετάβατε καὶ κωμάζατε βέλτιον.

26.

Ποῦ μοι τὰ ῥόδα, ποῦ μοι τὰ ἴα, ποῦ μοι τὰ καλὰ σέλινα;
Ταδὶ τὰ ῥόδα, ταδὶ τὰ ἴα, ταδὶ τὰ καλὰ σέλινα.

27.

Senes:

Ἄμμες ποκ' ἦμες ἄλκιμοι νεανίαι.

Et. M. v. *Ἱππία· ἐκλήθη οὕτως ἡ Ἀθηνᾶ, ἐπεὶ ἐκ τῆς κεφαλῆς τοῦ Διὸς μεθ' ἵππων ἀνήλατο, ὡς ὁ ἐπ' αὐτῇ ὕμνος δηλοῖ*, cfr. ad Eustath. in Pind. 20.

24) Plut. Quaestt. Grr. 36. Solebant mulierculae Eleae Dionysum tauripedem invocare, cfr. Welckeri Append. Tril. Aesch. 190. 2. Vulgo *ἄλιον*: correxit Welckerus. Sic pro *Ἠλεῖος* Plautus *Alius* habet. 4. Corrigunt *θεῖον, θείῳ*.

25) Lucianus Saltat. 10. 11. *Καὶ τὸ ᾆσμα, ὃ μεταξὺ ὀρχούμενοι* (Lacones) *ᾄδουσιν, Ἀφροδίτης ἐπίκλησίς ἐστιν καὶ Ἐρώτων, ὡς συγκωμάζοιεν αὐτοῖς καὶ συνορχοῖντο. καὶ θάτερον δὲ τῶν ᾀσμάτων — δύο γὰρ ᾄδεται — καὶ διδασκαλίαν ἔχει ὡς χρὴ ὀρχεῖσθαι· πόρρω γάρ φασιν, ὦ παῖδες κτλ. τουτέστιν ἄμεινον ὀρχήσασθε.* Cfr. Mueller. Dorr. II, 339.

26) Ath. XIV, 629, E. *Ἦν δὲ καὶ παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα. ταύτην δὲ ὠρχοῦντο μετὰ λέξεως τοιαύτης μιμούμενοι καὶ λέγοντες· Ποῦ κτλ.*

27) Plutarch. Lycurg. XXI. *Τριῶν χορῶν κατὰ τὰς τρεῖς ἡλικίας συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν· Ἄμμες ποκ' κτλ. ὁ δὲ τῶν ἀκμαζόντων*

Viri:

Ἄμμες δέ γ' εἰμὲς· αἰ δὲ λῇς, πεῖραν λαβέ.

Juvenes:

Ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κἀρρονες.

28.

Ἴωμεν εἰς Ἀθήνας.

29.

Μακραὶ δρύες, ὦ Μέναλκα.

30.

Ὦ τί πάσχεις; μὴ προδῷς ἄμμ', ἱκετεύω·
πρὶν καὶ μολὲν κεῖνον, ἀνίστω·

ἀμειβόμενος ἔλεγεν· Ἄμμες δέ γ' κτλ. ὁ δὲ τρίτος ὁ τῶν παίδων· Ἄμμες κτλ. Pro πεῖραν λαβέ Plutarch. Instt. Lacon. 251. Hutten. dat αὐγάσθεο. Adde Diogenian. Provv. II, 30.

28) Plut. Quaestt. Grr. 35. Hanc cantilenam virgines Bottiaeae inter saltandum canebant. Erant autem quaedam gentes Bottiaeae origine Athenienses.

29) Ath. XIV, 619, C. Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν νόμων καλεῖσθαί τινά φησιν ᾠδὴν ἀπ' Ἡριφανίδος, γράφων οὕτως· Ἡριφανὶς ἡ μελοποιός, Μενάλκου κυνηγετοῦντος ἐρασθεῖσα, ἐθήρευε μεταθέουσα ταῖς ἐπιθυμίαις. φοιτῶσα γὰρ καὶ πλανωμένη πάντας τοὺς ὀρείους ἐπεξῄει δρυμούς, ὡς μῦθον εἶναι τοὺς λεγομένους Ἰοῦς δρόμους. ὥστε μὴ μόνον τῶν ἀνθρώπων τοὺς ἀστοργίᾳ διαφέροντας, ἀλλὰ καὶ τῶν θηρῶν τοὺς ἀνημερωτάτους συνδακρῦσαι τῷ πάθει, λαβόντας αἴσθησιν ἐρωτικῆς ἐλπίδος. ὅθεν ἐποίησέ τε καὶ ποιήσασα περιῄει κατὰ τὴν ἐρημίαν, ὥς φασιν, ἀναβοῶσα καὶ ᾄδουσα τὸ καλούμενον νόμιον, ἐν ᾧ ἐστι· Μακραὶ δρύες, ὦ Μέναλκα. Versiculus intercalaris, ut videtur.

30) Ath. XV, 697, B. Οὗτος τὰς καπυρωτέρας φδὰς ἀσπάζεται μᾶλλον τῶν ἐσπουδασμένων· οἷαί εἰσιν αἱ Λοκρικαὶ καλούμεναι, μοιχικαί τινες τὴν φύσιν ὑπάρχουσαι, ὡς καὶ ἥδε· Ὦ κτλ. Confer Bentleji Opuscc. 351. 1. ἥδε· Ὦ τί: A ἡδέω τι: B ἡδεῶ τί: ἡδέω τί P: ἡδέως τι VL. Bothius in Annall. Litt. Heidelb. 1837, 890. Κἀλ' ἠθέων, τί πάσχεις;

μὴ κακὸν μέγα ποιήσῃς κἀμὲ τὰν δειλάκραν·
ἀμέρα * καὶ ἤδη. τὸ φῶς διὰ τᾶς θυρίδος οὐκ ἐφορῇς;

31.

Ἑλλάδος ἀγαθέας στραταγὸν
τὸν ἀπ᾽ εὐρυχόρου Σπάρτας ὑμνήσομεν·
ὦ ἰὴ παιάν!

32.

Ἴνθ᾽, ἦνθε χελιδών,
καλὰς ὥρας ἄγουσα
καλοὺς ἐνιαυτούς,
ἐπὶ χαστέρα λευκά,
ἐπὶ νῶτα μέλαινα.
παλάθαν οὐ προκυκλεῖς
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,

---

3. Libri ποιήσῃς καί με: Bothius ποιήσῃς με τὰν θ., Bergkius Anacr. 6. ποιήσῃς κἀμέ, Toupius ποιήσῃ σέ κἀμέ.
4. καὶ Dindorfio delendum videtur, ὡς Bothius, καὶ δὴ Bergkius scribunt. Mihi ἀμέρα δ᾽ ἤδη placet.

31) Plut. Lysand. XVIII. Πρώτῳ, ὡς ἱστορεῖ Δοῦρις, Ἑλλήνων ἐκείνῳ (Lysandro) βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς θεῷ καὶ θυσίας ἔθυσαν, εἰς δὲ πρῶτον παιᾶνες ᾄσθησαν, ὧν ἑνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε· Τὸν Ἐ. ἀ. στρ. εὐρυχώρου Σπάρτας ὑ., ὦ ἰὴ παιάν. Sic Schaeferus. Cfr. Naek. Choeril. 46 sqq. Ath. XV, 696, E. Ὁ εἰς Λύσανδρον τὸν Σπαρτιάτην γραφεὶς παιὰν (ἔχει τὸ παιανικὸν ἐπιῤῥῆμα), ὃν φησι Δοῦρις ἐν τοῖς Σαμίων ἐπιγραφομένοις Ὥροις ᾄδεσθαι ἐν Σάμῳ.

32) Athen. VIII, 360, B. Καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις ἀγερμός τις ἄλλος (v. Phoenic. Coloph. fr. 2.), περὶ οὗ Θέογνίς φησιν ἐν δευτέρῳ περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν γράφων οὕτως. »Εἶδος δέ τι τοῦ ἀγείρειν χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν, ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί· χελιδονίζειν δὲ λέγεται διὰ τὸ εἰωθὸς ἐπιφωνεῖσθαι· Ἦλθ᾽ κτλ. τὸν δὲ ἀγερμὸν τοῦτον κατέδειξε πρῶτος Κλεόβουλος ὁ Λίνδιος ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων.« Illustravit Ilgenius Opusce. I, 129 sqq., numeros descripsit Hermannus El. D. M. 461 sq.

τυροῦ τε κάνιστρον
καὶ πυρῶν;
ἀ χελιδὼν καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. πότερ' ἀπίωμες, ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομες,
ἢ τὰν θύραν φέρωμες ἢ θυπέρθυρον,
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥᾳδίως μὶν οἴσομες·
ἐὰν φέρῃς δέ τι, μέγα δή τι καὶ φέροις·
ἄνοιγ', ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

33.

Δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι δ' ὑγίειαν,
ἂν φέρομεν παρὰ τᾶς θεῶ, ἂν ἐκαλέσσατο τήνα.

34.

Ἄλει μύλα ἄλει,
καὶ γὰρ Πιττακὸς ἄλει,
μεγάλας Μιτυλάνας βασιλεύων.

35.

Ὦ παῖδες, οἳ Χαρίτων τε καὶ πατέρων λάχετ' ἐσθλῶν,
μὴ φθονεῖθ' ὥρας ἀγαθοῖσιν ὁμιλίαν·

---

9. τυρῶ PV: τυρῶν B. Illud fortasse recte. 10. Hermannus τυροῦ τε κάνιστρον. | καὶ πυρὰ χελιδὼν | καὶ τὸν λεκιθίταν. 17. Libri ἂν δὴ φέρῃς τι: correxit Dindorfius. δή τι (τοι P) φέροις BP.

33) Cfr. Koester. Cantil. Popull. 79. Pastores Siculi haec canebant.

34) Plut. Septt. Sap. Conv. XIV. Narrat Thales Milesius ibi, se Lesbi molarem cantilenam a muliere in pistrino cantatam audisse. Dilogia inest in illo καὶ γὰρ Πιττακὸς ἄλει (*permolit*), v. Welcker. Jahn. Annall. 1828, I, 4. p. 402.

35) Plut. Amator. 761, A. Ἀριστοτέλης τὸν μὲν Κλεόμαχον ἄλλως ἀποθανεῖν φησι, κρατήσαντα τῶν Ἐρετριέων ἐν τῇ μάχῃ· τὸν δὲ ὑπὸ τοῦ ἐρωμένου φιληθέντα τῶν ἀπὸ Θρᾴκης Χαλκιδέων γενέσθαι, πεμφθέντα τοῖς ἐν Εὐβοίᾳ Χαλκι-

σὺν γὰρ ἀνδρείᾳ καὶ ὁ λυσιμελὴς ἔρως
ἐπὶ Χαλκιδέων θάλλει πόλεσιν.

δεῦσιν ἐπίκουρον. ὅθεν ᾄδεσθαι παρὰ τοῖς Χαλκιδεῦσιν· Ὦ παῖδες κτλ. Cfr. Winckelmann. 188. Meinekii Euphor. 10. Bergk. Anacr. 203. 1. *ὅσοι* Bergkius. *πατέρων, parentes* dicit. 2. *ὁμιλεῖν* Bergkius, ut *μὴ φθ.* et cum genitivo *ὥρας* et cum infinitivo *ὁμιλεῖν* constructum esset. 4. *ἐπὶ X. π.*, Bernhardy Synt. 249.

Addenda et Emendanda.

Section. I.

P. 20. Fr. 2, 28. Soloneus locus obversatus fuerit Diogeni Cynic. Epist. XI., quam publicavit Boissonadius in Notit. et Extr. Codd. Regg. X, 2, 269. *Οὐ τοίνυν ἔχοις ἂν ἐπιδεῖξαι ὅπως τοιοῦτος ὢν ἐπιχείρησας ἀνθρώπῳ χρηστῷ· τοιοῦτος δὲ ἐπιχειρῶμενος οἷος πρώτός γ' ἂν αὐτὸς καὶ μάγιστα καὶ παθεῖν, καὶ νῦν μηδὲν ἀγαθὸν πάσχειν, μηδὲ σοὶ ἀρέσκων τὰ τείχη. ῥᾳδίως τὰ κακὰ ὑπερᾴλεται καὶ παρεδύσεται.*

III. Ὡς, ὁπότ' ἀσπάσιον ἔαρ ἦλυθε βουσὶν ἔλιξιν. *Hippocr. p.* 785 *Foes.*

IV. Ἦμος δ' ἀϊζηοὶ ἀημήτερα βωλοτομεῦσι. *Dion. Hal. de Hom. poesi* 7. *Plut. de Iside*, der denselben Vers hat, liest κωλοτομεῦσι.

V. Das. 6 (*Herodian Boisson. Anecd.* III *p.* 286 ohne Namen):
Φθέγξατο δ' ἠνίοχος νηὸς κυανοπρῴροιο.

VI. Odysseus zerstörte Ilion
Βουλῇ καὶ μύθοισι καὶ ἠπεροπηΐδι τέχνῃ. *Strab.* I *p.* 15.

VII. Agamemnon sagt:
Πὰρ γὰρ ἐμοὶ θάνατος. *Arist. Polit.* III, 9.

VIII. Ἀλλ' οἷον μὲν ἔνεστι καλεῖν ἐπὶ δαῖτα θαλείην.

IX. Οἳ καλέουσιν ἀοιδόν. Beide bei *Arist.* a. a. O. VIII, 3 aus einer Rede des Odysseus. Welcker S. 20 denkt an die Kyprien.

X. Χαλκῷ ἀπὸ ψυχὴν ἐρύσας.

XI. Τάμ' ἀτειρέϊ χαλκῷ. Beide bei *Arist. Poet.* 21.

XII. Μῦσεν δὲ περιβροτόεσσα
Ὠνειλή. Ders. beim *Schol. Il.* ω, 420.

XIII. Ἥμεροι οἵγε δίκαιοι. *Plat. Gorg. p.* 516 *C.* (Welcker 133), wogegen dass (*Plato Theaet. p.* 153, *Bachm. Anecd.* I, 418) Homer den Helios χρυσῆν σειρήν nannte, sich auf *Il.* ϑ, 19 bezieht.

XIV. Ὡς οἱ μὲν δαίνυντο βοῶν κρέα καὐχένας ἵππων
ἔκλυον ἱδρώοντας, ἐπεὶ πολέμου ἐκόρεσθεν.
Θωρήσσοντ' ἄρ' ἔπειτα πεπαυμένοι . . . . .
πύργων δ' ἔξεχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Arist. Pax 1180 ff. Welcker S. 20.

XV. Ὡς τε Κλυταιμνήστρη λείπουσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην·
ὣς Ἑλένη ἦσχυνε λέχος ξανθοῦ Μενελάου. *Schol. Eur. Or.* 249. Nach Bode S. 289 f. wohl zu den Nosten gehörend.

XVI. Βαρύβρομα θωΰσσοντες. *Suid. v.* θωΰσσοντες.

XVII. Φοινίσσετο δ' αἵματι γαῖα. *Suid. v.* Φοινικικῶν. Vgl. *Il.* κ, 484.

XVIII. Ἑβδομάτη δὴ ἔπειτα κατήλυθεν ἱερὸν ἦμαρ.

XIX. Ἑβδόμη ἦν ἱερή.

XX. Ἕβδομον ἦμαρ ἔην, καὶ τῷ τετέλεστο ἅπαντα. Vgl. *Od.* ε, 262.

XXI. Ἑβδομάτῃ δ' ἠοῖ λίπομεν ῥόον ἐξ Ἀχέροντος. Alle bei *Clem. Strom.* V *p.* 560, *Euseb. Praep. ev.* XIII, 13.

XXII. *Δαΐφρων Πηνελοπεία. Eust. p.* 803, *Etym. M. v.* δαΐς u. s. w.

XXIII. *Δὴ τότε δηριόωντο Ποσειδάων καὶ Ἀπόλλων. Etym. v.* δῆρις.

XXIV. *Συρίζουσα λόγχη. Serv. Virg. Aen.* XII, 691.

XXV. *Δωρήσω τρίποδα χρυσούατον. Dion.* a. a. O. 8.

XXVI. *Ἠνορέην ὑπέροπλον ἀγώμενος. Etym. v.* ἀγώμενος.

Wie häufig in solchen Anführungen Irrthümer sich finden, lässt sich an vielen Beispielen (so werden Verse des Apollonios als homerisch angeführt) nachweisen *). Wir begnügen uns daher lieber mit dem Gegebenen, als dass wir ganz Zweifelhaftes hinzufügen sollten. Nur wollen wir noch als homerisch bezeichnen zwei Verse, die an den Amphilochos, den Sohn des Amphiaraos, gerichtet sind, vielleicht, wie man vermuthet hat, zur Thebais, oder auch zu den Epigonen gehörend, bei *Athen.* VII *p.* 317 A, der selbst nicht wusste, woher Klearchos, der sie anführte, sie genommen:

Πουλύποδός μοι, τέκνον, ἔχων νόον, Ἀμφίλοχ' ἥρως,
τοῖσιν ἐφαρμόζου, ὧν ἂν καὶ δῆμον ἵκηαι.

Leicht können sie auch aus einem gnomischen Gedichte, das dem Amphiaraos in den Mund gelegt ward, entnommen sein. Vgl. *Pind. fr.* 173 B., *Theogn.* 215 ff.

---

*) Auch in den Scholien zum Theokrit mögen Verstösse dieser Art sich finden. Vgl. I, 31 (*Γέλασε δὲ χθὼν παμμήτωρ*), II, 104 (*Γήραος ὑπὲρ οὐδὸν ἀμείψας*), IX, 16 (*Οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψεύδονται ὄνειροι*), XIII, 13 (*Αὐτοὶ δ' αἰθαλόεντος ἀνὰ ῥῶγας μεγάροιο*). Die Quelle des von Wolf angeführten homerischen Halbverses: *ἀελλοπόδων δρόμον ἵππων* habe ich nicht entdecken können. Liegt hier ein Irrthum zu Grunde? Simonides sang: *Χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων* (*Schneidewin delect.* p. 381). Wir fügen aus den Erklärern des Virgil noch hinzu, *Serv. Aen. I,* 110: *Graece arae (saxa) ipsae ἵππου νῶτα dicuntur, ut Sinnius Capito tradidit secundum Homerum, G.* IV, 373 *εἰς ἅλα πορφυρόεσσαν, Prob. G.* II, 506: *Tyrum autem Sarram appellatam Homerus docet.* Bei *Serv. Ecl.* VI, 48 ist statt *Antiopae* zu lesen *Anteae.*

C) Hesiodische Gedichte.

Im Kyklos fanden wir bloss Gedichte homerischer Kunstform; ihr gegenüber steht die genealogisch-historische des Hesiod, die sich an dessen Namen anschliesst, wie die kunstvoll entfaltende und ausführende an den des Homer. Suidas führt als Werke des Hesiod an die *θεογονία, ἔργα καὶ ἡμέραι, ἀσπίς* und *γυναικῶν ἡρωϊνῶν κατάλογος ἐν βιβλίοις ε'*. Pausanias IX, 31 nennt das letztere *τὰ ἐς γυναῖκας ᾀδόμενα*, auch I, 3 *ἔπη τὰ ἐς τὰς γυναῖκας*, und I, 43, III, 24 *κατάλογος γυναικῶν*. Auch *Dio Chrysost. orat. de regno* spricht vom *γυναικῶν κατάλογος*, *Lucian.* (III *p.* 259. Vgl. VIII *p.* 147) vom *ἡρώτων κατάλογος* und *Max. Tyr.* (XXXII, 4. Vgl. XXXIV, 9) sagt von Hesiod, *τῶν ἡρώων ἀπὸ γυναικῶν ἀρχόμενος καταλέγων τὰ γένη, ὅστις ἐξ ἧς ἔφυ*, und der Rhetor *Menander* (in den *Rhetores* von *Walz* IX, 268) bemerkt, die *κατάλογοι γυναικῶν* hätten gehandelt *περὶ θεῶν συνουσίας καὶ γάμου*. Vgl. noch *Serv. Virg. Aen.* VII, 268 *(Hesiodus etiam περὶ τῶν γυναικῶν inducit multas heroidas optasse nuptias virorum fortium)* und *Diomedes* in *Gaisford's Hephaestion p.* 395. Die Fragmente bei Göttling, wozu Hermann *Opusc.* VI, 1, 258 ff., und *Lehmann de Hesiodi carminibus perditis part. I* (*Berol.* 1828).

I. *Κατάλογος γυναικῶν. Ἠοῖαι.*

Den Uebergang von der Theogonie zum *κατάλογος* bilden die vier letzten Verse der Theogonie.

I. *Schol. Apoll. Rhod.* III, 1085: *Ὅτι Προμηθέως καὶ Πανδώρας υἱὸς Δευκαλίων. Ἡσίοδος διηγεῖται ἐν α' τῶν καταλόγων καὶ, ὅτι Προμηθέως (ἢ Δευκαλίωνος) καὶ Πύῤῥας* (hier ist *Ἕλλην* ausgefallen), *ἐξ οὗ οἱ Ἕλληνες ὠνομάσθησαν καὶ ἡ Ἑλλὰς*. Daher *Eudocia p.* 108: *Δευκαλίων, ὅτι Πρ. καὶ Π. υἱὸς, Ἡ. ἐν πρώτῳ καταλόγων φησι καὶ, ὅτι Προμηθέως καὶ Πύῤῥας Ἕλλην*. Der *Schol. Od.* κ, 2: *Δευκαλίων — Πρ. μὲν ἦν υἱὸς μητρὸς δὲ, ὡς πλεῖστοι λέγουσι, Κλυμένης* (irrig. *Theog.* 508), *ὡς δὲ Ἡ., Πρωνείης* (Welcker Trilog. S. 12 *Πρωλείης*. Lies *Πύῤῥας*). *Schol. Apoll.* IV, 266: *Οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡ.*

II. *Steph. Byz. v. Γερηνία* führt als hesiodisch (Spanheim fügte in seinem Exemplare aus einer Hdschr. hinzu *ἐν πρώτῳ καταλόγῳ*) und aus ihm *Eust. Il. p.* 231, auch *Eudoc. p.* 333, an:

Κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλούς
ἕνδεκα, δωδέκατος δε Γερήνιος ἱππότα Νέστωρ
ξεινὸς ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερήνοις. —
Νέστωρ οἷος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ.

Schol. Od. γ, 68: *Γερήνιος ὁ ἐν Γερήνῳ ἀνατραφεὶς κατὰ Ἡ. S. Il. λ*, 692. Vgl. *Schol. Ven. Il. β*, 336 (auch *Schol. Od. λ*, 287), wo es, nachdem der Tod des Periklymenos, des Bruders des Nestor, erwähnt ist, heisst: *Τότε Νέστωρ ἐν Γερήνοις τρεφόμενος πορθηθείσης τῆς Πύλου καὶ τῶν ἕνδεκα ἀδελφῶν αὐτοῦ ἀναιρεθέντων μόνος περιελείφθη. — Ἱστορεῖ Ἡ. ἐν καταλόγοις. Eust. Od. p.* 1683: *Τὸν δὲ Περικλύμενον Ἡ. φησι δῶρον εἰληφέναι παρὰ Ποσειδῶνος ἀμείβειν ἑαυτὸν, εἰς οἷον ἂν ζώου ἢ δένδρου αἱροῖτο εἰκόνα.* Diese Schilderung hat aus Hesiod. aufbewahrt der *Schol. Apoll.* I, 156 (Vgl. *Eudoc. p.* 333):

II *b.* *Περικλύμενόν τ' ἀγέρωχον*
ὄλβιον, ᾧ πάρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσιν φάνεσκεν
αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο θαῦμα ἰδέσθαι
μύρμηξ ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα
ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος· εἶχε δὲ δῶρα
παντοῖ' οὐκ ὀνομαστά, τὰ μὲν καὶ ἔπειτα δόλωσεν
βουλῇ Ἀθηναίης ἀγελείης.

III. *Herodian. περὶ μονήρους λεξέως p.* 18 bemerkt, *φανή* sei oxytonirt *παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον*

Οἳ πρόσθε φανὴν ἔντοσθεν ἔκευθον.

IV. *Harpocrat. Μακροκέφαλοι. — Ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡ. ἐν τρίτῳ γυναικῶν καταλόγῳ μέμνηται.* Vgl. *Strab.* I *p.* 31, 43: *Ἡσιόδου - Ἡμικύνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους.* Ebenso VII *p.* 298, wo nur *Μεγαλοκεφάλους.*

V. *Harpocrat. Ὑπὸ γῆς οἰκοῦντες — λέγει ἄν — καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν τρίτῳ καταλόγῳ (λεγομένους) κατου-*

δαίους. Vgl. *Suid.*, *Phot. v.* Auch der Greife that Hesiod. Erwähnung nach *Schol. Aesch. Prom.* 792.

VI. *Schol. Apoll.* II, 178: Ἐν δὲ τῷ τρίτῳ καταλόγων διὰ τὸ ζωὴν μακρὰν (hier fehlt ein Infinitiv) ὄψεως μᾶλλον ἕλεσθαι (Φινέα Ἡ. φησιν). Παῖδας δέ φησιν αὐτῷ γενέσθαι Ἡ. δύο Θυννὸν καὶ Μαριανδηνόν (lies Μαριανδυνόν). Vgl. *Schol. ib.* 724.

VII. *Herodian. l. l. p.* 42: Ἡσίοδος ἐν τρίτῳ·

Νοῦθος δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει. Vgl. *Theog.* 10.

VIII. *Gregor. Corinth. p.* 470: Ὑπὸ γὰρ Ἡσιόδῳ ἐν ἀρχῇ τιθεῖσα εὐλόγως ὀρθοτονήθη ἐν τρίτῳ·

Σφὶν δ' αὐτοῖς μέγα πῆμα.

IX. *Schol. Hesiod. Scut.*: Τῆς ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ δ' καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ σ' (lies στ).

X. *Schol. Il.* ξ, 200 (Vgl. *Schol. Od.* α, 98): Ὡς παρὰ Ἡσιόδῳ ἐν γυναικῶν καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδός·

Δημοδόκης, τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων
μνήστευον, καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν
ἴφθιμοι βασιλῆες ἀπειρέσιον κατὰ εἶδος.

XI. *Paus.* I, 43: Οἶδα δὲ Ἡ. ποιήσαντα ἐν καταλόγῳ γυναικῶν οὐκ ἀποθανεῖν (Ἰφιγένειαν) γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι.

XII. *Paus.* III, 24: Καὶ, ὅτι μὲν τῶν Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὔκ ἐστιν ἐν καταλόγῳ γυναικῶν, μηδὲν τοῦτο ἔστω τεκμήριον οὐκ αἰτῆσαι Ἑλένην αὐτόν. Auf dieselbe Stelle bezieht sich auch der *Schol. Il.* τ, 240: Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡ. καταλέγων τοὺς μνηστῆρας Ἑλένης.

XIII. *Schol. Hesiod. Scut.*: Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ γ' φησὶν (τὴν ἀσπίδα) αὐτοῦ (Ἡσιόδου) ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ τὸν Ἰόλαον ἐν τῷ καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα τῷ Ἡρακλεῖ.

XIV. *Eust. Il. p.* 11: Ἦν δέ φασι Βούτης υἱὸς Ποσειδῶνος, ὡς Ἡ. φησιν ἐν καταλόγῳ. *Ib. p.* 1484: Ἄραβας, οἳ οὕτως ὀνομάζονται ἀπὸ Ἀράβου τινός, ὡς Ἡ. ἐν τῷ ἑαυτοῦ καταλόγῳ φησίν. S. *fr.* XV.

XV. *Strab.* I, *p.* 42 (Vgl. *Eust. Dionys.* 927): Ἡ. δὲ ἐν καταλόγῳ φησίν·

Καὶ κούρην Ἀράβοιο, τὸν Ἑρμάων ἀκακήτα
γείνατο καὶ Θρονίη κούρη Βήλοιο ἄνακτος.

XVI. *Eust. Od. p.* 1746 (Vgl. *Etym. M. p.* 523, *Schol. Il. ω*, 25): *Ἡρωδιανὸς φέρει καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγῳ περὶ τῶν Προιτίδων·*

Καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν·
ἄλφος γὰρ χρόα πάντα κατέσχε(θε)ν, ἐκ δέ νυ χαῖται
ἔῤῥεον ἐκ κεφαλῆς, ψίλωτο δὲ καλὰ κάρηνα.

Κατέσχεθεν hergestellt nach *Theog.* 575. Der erste Vers auch bei *Cramer Anecd.* I *p.* 268. Hierzu gehört, was *Suid. v. μαχλοσύνη* aus Hesiod über die Töchter des Proetos erwähnt (Vgl. *Eust. Il. p.* 1465):

Εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσεν ἄνθος.

Apollod. II, 2: *Αὗται δὲ (αἱ Προιτίδες), ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς Ἡ. φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο.* H. sagte, die *Πανέλληνες* hätten um sie geworben. *Strab.* VIII *p.* 370.

XVII. *Lyd. de mensibus* I, 4: *Ἡσίοδος ἐν καταλόγοις·*

Ἄγριον ἠδὲ Λατῖνον (*Theog.* 1013) . . . . .
Κούρη δ' ἐν μεγάροισιν ἀγαυοῦ Δευκαλίωνος
Πανδώρη Διῒ πατρὶ θεῶν σημάντορι πάντων
μιχθεῖσ' ἐν φιλότητι τέκε Γραικὸν ἱπποχάρμην.

Vgl. Wachsmuth Hellen. Alterthumskunde I, 310.

XVIII. *Schol. Theog.* 142: *Πῶς γὰρ — ἐν τῷ τῶν Λευκιππιδῶν καταλόγῳ* (einem Theile des *κατάλογος*) *ὑπὸ Ἀπόλλωνος* (*Κύκλωπας*) *ἀναιρεῖσθαι ποιεῖ* (*H.*); *Ἢ ὅτι οὐ πάντας τοὺς ἐκ τῶν θεῶν γεγονότας ἀθανάτους εἶναι συμβαίνει, ὡς φησιν Ἡ.*

XIX. *Ἕλληνος δ' ἐγένοντο θεμιστοπόλου βασιλῆος*
Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱππιοχάρμης·
Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης
Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης.

Herodian. p. 42 *Δῶρός τε Ξοῦθός τε.* Die beiden ersten Verse als hesiodisch angeführt von *Plut. quaest. conv.* IX, 15 (*θεμιστοπόλοι βασιλῆες*), *Tzetz. Lyc.* 284 und *Il. p.* 784, 831 *Bachm.* (wo *Ἡ. ἐν τῇ ἡρωϊκῇ γενεαλογίᾳ*), die drei

letzten vom *Schol. Pind. Pyth.* IV, 252 (wo statt Περιήρης περὶ κῆρι), der zweite auch vom *Schol. Thucyd.* I, 3. Vgl. *fr.* I und Müller's Dorier I, 12.

XX. Aus der ἡρωϊκὴ γενεαλογία *) führt *Tzetz. Il. p.* 826 *Bachm., Lyc.* 393 an (bei *Cramer Anecd.* II, 451):

Ἴλέα, τόν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων
καί μιν τοῦτ' ὀνόμην' ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην
εὑράμενος ἰλέων μίγη ἐρατῇ φιλότητι
ἤματι τῷ, ὅτε τεῖχος ἐϋδμήτοιο πόληος
ὕψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων.

Der Form Ἴλεὺς st. Ὀϊλεύς bei Hesiod thun Erwähnung *Eust. Il. p.* 650 (der V. 3 hat), *Schol. Il. β*, 527, *o*, 333, *Schol. Pind. Ol.* IX, 167, *Tzetz. Il. p.* 746.

XXI. Nach *Tzetz. Lyc.* 176 ἐκ τῆς ἡρωϊκῆς γενεαλογίας, nach *Schol. Pind. Nem.* III, 21 περὶ τῶν Μυρμιδόνων (vgl. auch *Schol. Ol.* VIII, 27, *Tzetz. Chil.* VII, 133):

Ἡ (Αἴγινα) δ' ὑποκυσσαμένη τέκεν Αἰακον ἱππιοχάρμην
αὐτάρ, ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
μοῦνος ἐὼν ἤσχαλλε, πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ἐποίησε βαθυζώνους τε γυναῖκας·
οἱ δὴ τοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας
πρῶτον δ' ἱστία θέντο νεὼς πτερὰ ποντοπόροιο.

Schol. Pind. θέσσαν ἔπι πτ., *Tzetz.* κυανοπρώροιο. Vgl. Müller's *Aeginetica p.* 14. Hermann S. 260:

Πρῶτοι δ' ἱστία θέσσαν ἔπι πτερὰ ποντοπορδύσαις.

Ursprünglich waren vom κατάλογος verschieden die Ἠοῖαι. Dies ergeben ausser Pausanias ἐς γυναῖκας ᾀδόμενα καὶ ἃς μεγάλας ἐπονομάζουσιν Ἠοίας folgende Stellen (vgl. *fr.* XIII):

XXII. *Schol. Apoll.* II, 181 (*Eudoc. p.* 414): Ἡσίοδος μέντοι ἐν ταῖς Ἠοίαις πεπηρῶσθαί φησιν αὐτὸν (Φινέα) διὰ τὸ δεῖξαι Φρίξῳ τὴν εἰς Σκυθίαν ὁδόν, ἐν δὲ τῷ τρίτῳ

*) Diese erwähnt neben den κατάλογοι *Proclos Hesiod. p.* 4 (*p.* 9 nennt er sie ἡρωογονία) und nach ihm *Tzetzes Hes. p.* 19.

καταλόγων u. s. w. (*fr. VI*). Vgl. *Hygin. Astron.* 20: *Aries. Hic existimatur esse, qui Phrixum transtulisse et Hellen dictus est per Hellespontum, quem H. et Pherecydes ait habuisse auream pellem. Interpr. Germ. Arat. p.* 60.: *Aries, ut H. et Pherecydes dicunt, inter astra collocatus est propter Phrixum et Hellen Athamantis et Nebulae filios.* S. Müller Prolegomena S. 199.

XXIII. *Schol. Apoll.* IV, 57 (*Exdoc. p.* 148): *Τὸν Ἐνδυμίωνα Ἡ. μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης παῖδα λέγει παρὰ Διὸς εἰληφότα δῶρον αὐτὸν ταμίαν εἶναι θανάτου, ὅτι μέλλοι (Schol. θέλοι) ὀλέσθαι· ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ὑπὸ Διὸς ἀνενεχθῆναι εἰς τὸν οὐρανὸν καὶ ἐρασθέντα Ἥρας παραλογισθῆναι εἰδώλῳ νεφέλης διὰ τὸν ἔρωτα καὶ ἐμβληθέντα ἐκεῖθεν κατελθεῖν εἰς ᾅδην.* Hierhin gehört, was *Apollon. de pron. p.* 366 aus Hesiod anführt (vgl. Hesych. *ἴν αὐτῷ — αὐτὸς αὐτῷ*):

Ἴν δ' αὐτῷ θανάτου ταμίης,

wozu sich leicht als Schluss ergibt, *ὅτε μέλλοι ὀλέσθαι.*

Als zum vierten Buch des *κατάλογος* gehörend ist der Anfang des *Scutum* erwähnt (*fr.* IX), das mit *ἢ οἵη* beginnt. Wahrscheinlich wurde die Fortsetzung des *κατάλογος* von der Formel *ἢ οἵη Ἠοῖαι* genannt und bildete später das 4te und 5te Buch. Auch scheint man später alle 5 Bücher mit *Ἠοῖαι* bezeichnet zu haben (Hesychios: *Ἠοῖαι· κατάλογος Ἡσιόδου*). Jeder einzelne Abschnitt der *Ἠοῖαι* scheint eine Eöe genannt worden zu sein. Vgl.

XXIII *b. Schol. Pind. Pyth.* IX, 6: *Ἀπὸ δὲ Ἠοίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβε ὁ Πίνδαρος, ἧς ἡ ἀρχή·*

Ἢ οἵη Φθίῃ Χαρίτων ἄπο κάλλος ἔχουσα
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

Aus H. führt das *Etym. M. p.* 77 an: *Χαρίτων ἀμαρύγματ' ἔχουσα.*

Wir fügen die aus den Ἠοῖαι angeführten Stellen hinzu.

XXIV. *Aspasius Arist. Ethic. Nicom.* III *p.* 43 A: Ἡ. — *ἐν ταῖς μεγάλαις Ἠοίαις τὴν Ἀλκμήνην ποιῶν πρὸς τὸν Ἡρακλέα λέγουσαν·*

Ὦ τέκνον, ἦ μάλα δή σε πονηρότατόν καὶ ἄριστον
Ζεὺς ἐτέκνωσε πατήρ

καὶ πάλιν·

Τέκνον ἐμόν, Μοῖραί σε πονηρότατον καὶ ἄριστον.

XXV. *Paus.* IV, 2: *Ἄλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα υἱὸν Βούτου (fr.* XIV) *λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖται σφισιν.* Vgl. *Paus.* IV, 3, Müller Dorier I, 53.

XXVI. *Paus.* IX, 39: *Μαρτυρεῖ δὲ καὶ ὁ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ποιήσας·*

Φύλας δ' ὤπνιεν κούρην κλειτοῦ Ἰολάου
Λειπεφίλην, ἣν δ' εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη·
Ἱππότῃ δέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτεν
Θηρώ τ' εὐειδῆ ἰκέλην φαέεσσι σελήνης·
Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο.

XXVII. *Paus.* IX, 36: *Τήττου ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη συνθείς, ἃς μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες·*

Τῆττος δὲ Μόλυρον Ἀρίσβαντος φίλον υἱόν
κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο
οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργεος ἱπποβότοιο
ἶξεν δ' Ὀρχομενὸν Μινυήϊον· καί μιν ὅγ' ἥρως
δέξατο καὶ κτεάνων μοῖραν πόρεν, ὡς ἐπιεικές.

Hierhin zieht Buttmann (Abh. der Berliner Akad. 1821 S. 178) des H. Aufzählung der Söhne des Orchomenos bei Stephanos Byz. v. Ἀσπληδών:

Ἀσπληδὼν Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής.

XXVIII. *Schol. Pind. Pyth.* IV, 35: *Ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται·*

Ἢ οἵη Τρίτῃ πυκινόφρων Μηκιονίκη,
ἣ τέκεν Εὔφημον γαιήοχῳ Ἐννοσιγαίῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης.

XXIX. *Paus.* VI, 21: *Ἀπέθανον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Πορθάονος δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος· — τὸν δὲ ἀποθανόντα ἐπ' αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιστὴν Ἀκριῶν· ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φησιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι καὶ Λυκοῦργον Λάσιόν τε καὶ Χαλκώδοντα καὶ Τρικόλωνον· — Τρικολώνου δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ δρομῷ τὸ χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα ἔτι δὲ Πελάγοντα καὶ Αἰόλιόν τε καὶ Κρόνιον.* Dagegen erwähnen *Schol. Pind. Ol.* I, 127 und *Eudoc. p.* 314 aus Hesiod als von Oenomaos getödtet *Μέρμνος* (*Μέρμνης*; gleich *Μάρμαξ*), *Ἱππόθους*, *Πέλοψ*, *Ἀκαρνάν*, *Εὐρύμαχὸς*, *Εὐρύλοχος* (gl. *Εὐρύαλος*), *Αὐτομέδων*, *Λάσιος*, *Χάλκων* (gl. *Χαλκώδων*), *Τρικόρωνος* (gl. *Τρικόλωνος*), *Ἀλκάθους*, *Ἀριστόμαχος*, *Κρόκαλος* (gl. *Κρόταλος*). Vgl. *Schol. Pind. Ol.* I, 114.

XXX. *Paus.* II, 2: *Πεποίηται δὲ ἐν Ἠοίαις μεγάλαις Οἰβάλου θυγατέρα εἶναι Πειρήνην* (Einige Hdschr. *καὶ Π.*).

XXXI. *Schol. Soph. Trach.* 1174: *Ἡ. — ἐν Ἠοίαις λέγων οὕτως·*

Ἔστι τις Ἑλλοπίη πολυλήϊος ἠδ' εὐλείμων
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν·
ἐν δ' ἄνδρες ναίουσι πολύῤῥηνες πολυβοῦται
πολλοὶ ἀπειρέσιοι φῦλα θνητῶν ἀνθρώπων·
ἔνθα δὲ Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται,
τὴν δὲ Ζεὺς ἐφίλησε καὶ ὃν χρηστήριον εἶναι
τίμιον ἀνθρώποις ναῖον δ' ἐν πυθμένι φηγοῦ·
ἔνθεν ἐπιχθονίοις μαντεύματα πάντα φέρονται,
ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ,
δῶρα φέρων ἐλθῄσι σὺν οἰωνοῖς ἀγαθοῖσιν.

V. 7 u. 5 auch bei *Strab.* VII *p.* 328. Derselbe hat *p.* 327 den Vers des H.: *Δωδώνην φηγόν τε Πελασγῶν ἔδρανον ἦκεν.* V. 8 haben die Hdschr. *ἐπιχθόνιοι* und die *Schol. Rom. μαντήϊα.* Nach Hermann S. 259 f. ist V. 7 ein Vers, wo nicht mehr als einer ausgefallen, so dass *ναῖον* auf die dodonischen Tauben geht. Ich stelle statt *ναῖον δ'* her *ἐνόησ'*.

XXXII. *Athen.* X p. 428 C: *Διὸ καὶ Ἡ. ἐν ταῖς Ἠοίαις εἶπεν·*

Οἷα Διώνυσος δῶκ' ἄνδρασι χάρμα καὶ ἄχθος,
ὅστις ἄδην πίνει, οἶνος δὲ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι, φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος.

XXXIII. *Schol. Apoll.* I, 4 (*Eudoc. p.* 79): *Ἀκουσίλαος δὲ καὶ Ἡ. ἐν ταῖς μ. Ἠ. φασὶν ἐκ Ἰοφώσσης τῆς Αἰητοῦ (Ἄργον), καὶ οὗτος μέν φησι αὐτοὺς τέσσαρας Ἄργον Φρόντιν Μέλανα Κυτίσωρον.*

XXXIV. *Schol. Apoll.* I, 118 (*Eud. p.* 286): *Ἐν δὲ ταῖς καλουμέναις μεγάλαις Ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους φίλος ὢν τῷ Ἀπόλλωνι ἀποδημήσας κατέλυσε παρὰ Πολυφάτῃ· βοῦν δὲ αὐτῷ θύοντι δράκων ἀνερπύσας κατέφαγε τὸν τοῦ Πολυφάτου θεράποντα, χαλεπήνας δὲ ὁ βασιλεὺς ἀποκτείνει τὸν δράκοντα· Μελάμπους δ' ἐκεῖνον μὲν θάπτει τὰ δὲ ἔγκονα αὐτοῦ τρέφει· κἀκεῖνα περιλείχοντα τὰ ὦτα αὐτοῦ ἐνέπνευσαν αὐτῷ τὴν μαντικήν.* Vgl. *fr.* LXV.

XXXV. *Schol. Pind. Isthm.* V, 53: *Ἐκεῖ γὰρ (ἐν ταῖς μεγάλαις Ἠοίαις) εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος καὶ οὗτος ὁ διόπομπος αἰετός, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβε Αἴας.*

Bei *Athen.* VIII *p.* 364 B: *Ἅπερ πάντα ἐκ τῶν εἰς Ἡ. ἀναφερομένων μεγαλῶν Ἠοιῶν καὶ μεγάλων ἔργων παρῴδηται* hat man neulich vorgeschlagen, die Worte *μεγαλῶν Ἠοιῶν καὶ* zu streichen. S. Zeitschr. f. d. Alterthw. 1838 Nro. 66 f. Aber dieses ist nicht nöthig. Die Stelle ist so zu verstehen, dass die hier parodirten Verse sowohl in den *Ἠοῖαι*, als in den *μέγαλα ἔργα* gestanden. Sonst wird noch aus den *Ἠοῖαι* erwähnt *Σκύλλη* als Tochter des Phorbas und der Hekate (*Schol. Apoll.* III, 825), dann der Raub der Rinder des bei Admet dienenden Apoll (*Anton. Liber.* 31), die Geschichte des Battos (das. 26), Mykene als Tochter des Inachos, Weib des Arestor, von der die Stadt benannt sei (*Paus.* II, 16), und der Tod des Meleager durch Apoll (*Paus.* X, 31).

Zu den Ἠοῖαι scheinen gehört zu haben die ἐπιθαλάμια εἰς Πηλέα καὶ Θέτιν, aus denen *Tzetzes Lyc. p.* 261 M. anführt:

XXXVI. *Τρὶς μάκαρ Αἰακίδη καὶ τέτρακις ὄλβιε Πηλεῦ,*
ὃς τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις,

und der *Κήϋκος γάμος*, dessen mehrfach Erwähnung geschieht. *Athen.* II *p.* 49 (vgl. *Poll.* VI, 83): *Ὅτι Ἡ. ἐν Κήϋκος γάμῳ (καὶ γὰρ γραμματικῶν παῖδες ἀποξενοῦσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι) τρίποδας τὰς τραπέζας φησίν. Plut. Symp.* VIII *p.* 730 D: *Καθάπερ οὖν τὸ πῦρ τὴν ὕλην, ἐξ ἧς ἀνήφθη, μητέρα καὶ πατέρα οὖσαν ἤσθιεν, ὡς ὁ τὸν Κήϋκος γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλὼν εἴρηκεν. Schol. Apoll.* I, 1290: *Ἡ. ἐν τῷ Κήϋκος γάμῳ ἐκβάντα φησὶν αὐτὸν (Ἡρακλέα) ἐφ' ὕδατος ζήτησιν τῆς Μαγνησίας παρὰ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ ἀφέτας καλουμένας ἀπολειφθῆναι.* Müller Dorier II, 481 bezieht den Vers, den nach dem *Schol. Plat. Symp. p.* 373 und *Athen.* Herakles an der Schwelle des Keyx gesprochen haben soll, auf den Hesiod:

Αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν.

Sicher sind auf die Eöen zwei Fragmente des Hesiod zu beziehen, in denen die Formel ἥ οἵη (*fr.* XXIII, XXVIII), sich findet.

XXXVII. *Strab.* IX *p.* 442, XIV *p.* 647 und Stephanos Byz. v. *Ἄμυρος* (von der Koronis):

Ἥ οἵη Διδύμους ἱεροὺς ναίουσα κολωνούς
Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἄντ' Ἀμύροιο
νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἁδμής.

S. *fr.* LXIII. Vgl. *Ritschl de Oro et Orione p.* 59 *sq.*

XXXVIII. *Schol. Il. β*, 496, *Eust. Il. p.* 200:

Ἥ οἵην Ὑρίῃ Βοιωτίῃ ἔτρεφε κούρην . . .

Für οἵη beim *Schol.* (*Eust.* δίη Ὑρίη Βοιωτίης) schreibt Heyne οἵην. S. *fr.* XXVIII. Stephanos Byz. v. *Ὑρία*: *Ἡ. δὲ ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι.*

Wir fügen noch die sonst unter Hesiod's Namen angeführten Stellen hinzu, die wahrscheinlich hierhin gehören.

XXXIX. *Eust. Il. p.* 1163 (*Eudoc. p.* 278):

Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,
ὃν δὴ, ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί,
πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπιναῖς τε χοροῖς τε
ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν.

V. 3 steht *εἰ. ἠδὲ χ. Clem. Strom.* I *p.* 280: *Ἡ. γὰρ τὸν κιθαριστὴν Λίνον*

παντοίας σοφίας δεδαηκότα

εἰπών. Hermann S. 262 *παντοίης σοφίης.*

XL. *Eust. Il. p.* 351: *Αἳ (Δαναΐδες) παραγενόμεναι (ἐς Ἄργον) ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν, ὡς Ἡ.·*

Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον.

Derselbe Vers ohne Namen bei *Strab. p.* 539, wo nur *Δαναὸ θέσαν αὐτις. Hesych. Δίψιον Ἄργος Ἡ. μὲν τὸ ἄνυδρον.*

XLI. *Strab.* X *p.* 471: *Ἡ. μὲν γὰρ Ἑκαταίου καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν·*

Ἐξ ὧν οὔρειαι νύμφαι θεαὶ ἔξεγένοντο
καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν
Κουρῆτες τε θεοὶ φιλοπαίγμονες ὀρχηστῆρες.

XLII. *Strab.* V *p.* 221:

Τιείς ἔξεγένοντο Λυκάονος ἀντιθέοιο,
ὃν ποτε τίκτε Πελασγός.

Hesiod nannte den Pelasgos *αὐτόχθων* (*Apollod.* II, 1. III, 8) in Arkadien (*Serv. Georg.* II, 83). Von Pallas, dem Sohne des Lykaon, war nach ihm die Stadt Pallantion in Ark. benannt (Steph. v. *Παλλάντιον*) und die Stadt des Lykaon *ἐπὶ τῷ Διὶ παραβασίαν εἰπεῖν Παῤῥασία* (*Eust. Il. p.* 228).

XLIII. *Constantin. Porphyrog. de themat. p.* 22:

Ἡ δ' (Θυΐα) ὑποκυσσαμένη Διὶ γείνατο τερπικεραύνῳ
υἱὲ δύω Μάγνητα Μακεδόνα θ' ἱππιοχάρμην,
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον.

XLIV. Der Grammatiker hinter dem Ammonios von Valckenär *p.* 196 (*Herodian.* bei *Boissonade Anecd.* III, 259):

Μάγνης δ' αὖ Δίκτην τε καὶ ἀντίθεον Πολυδεύκεα...
S. Osann Jahrb. f. Phil. u. Pädag. B. 9 S. 255.

XLV. *Etym. M. p.* 768: *Ἡ. δὲ διὰ τὸ τριχῇ αὐτοὺς οἰκῆσαι·*

Πάντες δὲ τριχάϊκες καλέονται,
οὕνεκα τρισσὴν γαῖαν ἑκὰς πάτρης ἐδάσαντο·

τρία γὰρ ἑλληνικὰ ἔθνη τῇ Κρήτῃ κατῴκησαν Πελασγοὶ Ἀχαιοὶ Δωριεῖς.

XLVI. *Eust. Il. p.* 94, 126, 797: *Φυλέα — φίλον μακάρεσσι θεοῖσι Ἡ.* Hermann *Φυλῆα φίλον μ. θ.* zusammenhangend.

XLVII. *Strab.* VIII *p.* 342, Steph. v. *Ὤλενος*:

Ὤικεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθας
εὐρεῖος Πείροιο.

Strab. fügt hinzu: *Μεταγράφουσί τινες πόροιο οὐκ εὖ.*

XLVIII. *Schol. Pind. Ol.* XI, 46:

Τὴν δ' Ἀμαρυγκείδης Ἱππόστρατος ὄζος Ἄρηος
Φυκτέος ἀγλαὸς υἱὸς Ἐπειῶν ὄρχαμος ἀνδρῶν . . .

Apollod. I, 8: *Ἡ. δὲ (Περίβοιαν) ἐξ Ὠλένου τῆς Ἀχαΐας ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρῥω τῆς Ἑλλάδος ὄντα ἐντειλάμενον ἀποκτεῖναι.*

XLIX. *Schol. Soph. Trach.* 263:

Ἡ δ' ὑποκυσσαμένη καλλίζωνος Στρατονίκη
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν·
τοῦ δ' υἱεῖς ἐγένοντο Δηΐων τε Κλύτιός τε
Τοξεύς τ' ἀντίθεος ἠδ' Ἶφιτος ὄζος Ἄρηος,
τοὺς δὲ μεθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν
Ἀντιόπη κρείουσα Πύλωνος Ναυβολίδαο.

Πύλωνος st. *παλαιὸν γένος* emendirte Bentley *ad Mill. p.* 53.

L. *Tzetzes Lyc.* 344 von Autolykos:

Πάντα γάρ, ὅσσα λάβεσκεν, ἀΐδηλα πάντα τίθεσκεν.

Das *Etym. M. p.* 21 liest in demselben Verse *ὅττι κε χερσὶ λάβεσκε* und *Eudoc. p.* 375, 394 *ἀΐδηλα τέθνησκεν.*

LI. *Schol. Pind. Nem.* IV, 95 von Peleus:

Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ
αὐτὸν μὲν σχέσθαι κρύψαι δ' ἀδόκητα μάχαιραν
καλήν, ἣν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις,

ὡς τὴν μαστεύων οἷος κατὰ Πήλιον αἰπύ
αἰψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη.

Porphyrios bei Valckenär *Ammon. p.* 242 erwähnt aus Hesiod τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάστου γυναικός. Die Tochter des Peleus nannte H. Polydore (*Schol.* bei *Heyne Il.* VII *p.* 748) und des Patroklos Vater, Menötios, Bruder des Peleus (*Eust. Il. p.* 85, *Eudoc. p.* 331).

LII. *Schol. Pind. Nem.* III, 92:

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα ποιμένα λαῶν,
ὃν Χείρων θρέψεν ἐνὶ Πηλίῳ ὑλήεντι.

Vgl. *Schol. Od.* μ, 69: Αἴσονος δὲ καὶ Πολυμήλης (Πολυμήδης *Heyne ad Apollod. p.* 69) καθ' Ἡ. γίνεται Ἰάσων. S. Hermann S. 268. *Schol. Pind. Pyth.* III, 181: Ἡ. Ναΐδα φησὶ τὸν Χείρωνα γῆμαι.

LIII. *Strab.* VII *p.* 436: Ἡ. δὲ ἐν τῇ καλουμένῃ γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι

Γλακτοφάγων ἐς αἶαν ἀπήναις οἰκί' ἐχόντων.

Werfer *acta Monac.* II, 499 meint, Ephoros bei Strabo citire diese Verse des Hesiod aus der γῆς περίοδος des Eudoxos. Γῆς περίοδος hiess ein Theil des hesiodischen κατάλογος. Vgl. über die Flucht der beiden Harpyien *Apollod.* I, 9, 21: Ἡ. δὲ λέγει αὐτὴν (ἑτέραν) Ὠκυπόδην· αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης στροφάδες καλοῦνται. Der Echinaden that auch Hesiod (συγχοῦνται καὶ αἱ λοιπαί [Ἐχινάδες]) Erwähnung (*Strab.* I *p.* 59). In Bezug auf die Harpyien sagt der *Schol. Apoll.* II, 276: Εἰς τὰς πνοὰς ἔτρεχον, ὡς Ἡ. φησιν. Hermann S. 264 liest ἴσα ταῖς πνοαῖς und bezieht es auf *Theog.* 268. Hierhin gehört vielleicht, was *Strab. p.* 434 nach Eratosthenes aus H. anführt:

Αἰθίοπάς τε Λίγυς ἠδὲ Σκύθας ἱππημολγούς.

Die Hdschr. Λιγυστὶ δέ; richtig Lehmann. Die letzte Sylbe von Σκύθας kurz. Vgl. *Eust. Il. p.* 423.

LIV. *Schol. Il.* β, 764:

Ποδώκης δ' Ἀταλάντη.

Nach Hesiod war sie Tochter des Σχοινεύς (*Apollod.* III, 9). *Eust. Il. p.* 1146: Ἡ. γυμνὸν εἰσάγων Ἱππομένην ἀγωνιζόμενον τῇ Ἀταλάντῃ. Vgl. *Schol. Ven. Il.* ψ, 683.

LV. *Nicol. Damascen. exc. Vales. p.* 445, *Suid. v.* ἀλκή:

Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδαισι
νοῦν δ' Ἀμαθαονίδαις πλοῦτον δ' ἔπορ' Ἀτρείδῃσι.

Hermann δ' ἔπορ' st. δέ περ (schon Reiz δὲ πόρ'). *Polyb.* V, 2, *Suid. v.* δαῖτας:

Αἰακίδας πολέμῳ κεχαρήοτας ἠΰτε δαιτί.

LVI. *Plut. Thes.* 20: *Ἀπολειφθῆναι δὲ τὴν Ἀριάδνην τοῦ Θησέως ἐρῶντος ἑτέρας·*

Δεινὸς γάρ μιν ἔτειρεν ἔρως Πανοπηΐδος Αἴγλης·
τοιοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατος ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς. Athen. XIII *p.* 557 A: *Ἡ. δέ φησιν Θησέα νομίμως γῆμαι καὶ Ἵππην καὶ Αἴγλην.*

LVII. *Hesych. v.* ἐπ' Εὐρυγύῃ ἀγών·

Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηναίων ἱεράων.

Hermann Ἀθηνάων. An den Eurygyes denkt Höck „Kreta" II, 78 bei *Ammon. v.* ὄρθρος: *Καὶ Ἡ. τελευτῆσαί τινα* (*φησι*)

πρῶϊ μάλ' ἠΐθεον.

Sonst bezieht sich auf Athen Folgendes. *Cramer Anecd.* I *p.* 46: *Ἡ. δὲ τὸ Πρόκριν παρὰ τὸ κρίσις πρόκρισις προκρίσιν καὶ ἐν συγκοπῇ Πρόκριν.* Sicyon war nach Hesiod Sohn des Metion, Enkel des Erechtheus (*Paus.* II, 6). *Aelian. V. H.* XII, 20: *Λέγει Ἡ. τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμελοῦν ὕπνον καὶ διὰ τέλους ἀγρυπνεῖν τὴν δὲ χελιδόνα οὐκ εἰς τὸ παντελὲς ἀγρυπνεῖν καὶ ταύτην δὲ ἀπολωλέναι τοῦ ὕπνου τὸ ἥμισυ.* Melite, von der ein Demos der *Κεκροπίς* benannt ist, war nach Hesiod Tochter des Myrmex (*Harpocrat. v. Μελίτη*).

LVIII. *Schol. Pind. Ol.* XI, 79:

Τιμάνδρην Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν.

Serv. Virg. Aen. VIII, 130: *Quamvis Hesiodus dicat, qualiter (Atridis) coniunctus sit Evander, tamen quidam dicunt, Thyestae (Thestii) filias (filiam) Ledam et Hypermnestram (et eius Clytaemnestram) Helenam et Timandram fuisse, quam duxit uxorem Cohemus (Echemus). Schol. Pind. Nem.* X, 150: *Ὁ μὲν Ἡ. ἀμφοτέρους* (*Κάστορα καὶ Πολυδεύκην*) *Διὸς εἶναι γενεαλογεῖ. — Ἡ. οὔτε Λήδας οὔτε Νεμέσεως*

δίδωσι τὴν Ἑλένην θυγατέρα ἀλλὰ Ὠκεανοῦ καὶ Τηθύος. Vgl. *Athenag. Leg. p.* 134.

LIX. *Schol. Eur. Or.* 249 von den Töchtern des Tyndareus (vgl. Stesichoros bei Schneidewin *p.* 330):

Τῆσιν δὲ φιλομμειδὴς Ἀφρόδιτη
ἠγάσθη προςιδοῦσα κακὴν δέ σφ' ἔμβαλε φήμην.

LX. *Schol. Soph. El.* 539:

Ἣ τέκεθ' Ἑρμιόνην δουρικλειτῷ Μενελάῳ·
ὁπλότατον δ' ἔτεκεν Νικόστρατον ὄζον Ἄρηος.

Menelaos und Agamemnon hiessen bei Hesiod Söhne des Plisthenes, Enkel des Atreus und der Aerope. *Tzetz. Il. p.* 787 *Bachm.*, *Cramer Anecd.* III *p.* 378. Bei *Bachm. Anecd.* II, 247: Πρῶτος Ἡ. παρὰ τῆς Ἑλένης τὸ εἴδωλον παρήγαγε καὶ Ἡρόδοτος.

LXI. *Schol. Apoll.* IV, 892 (von der Insel der Sirenen):

Νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων...

Sicher von Odysseus. Vgl. *Eust. Od. p.* 1710, *Schol. Od. μ*, 168: Ἡ. ἐμυθεύσατο ὑπὸ Σειρήνων καὶ τοὺς ἀνέμους θέλγεσθαι. Hesiod liess den Odysseus im tyrrhenischen Meere umherirren (*Schol. Apoll.* III, 311), nach Italien und Sikilien, zum Aetna, der Insel Ortygia und den Tyrrhenern kommen (*Strab.* I *p.* 23). Ἀρέτη war ihm Schwester des Alkinoos (*Schol. Od. η*, 54). *Schol. Od. α*, 85: Ἡ. φησι κεῖσθαι τὸν δ' Ὠγύλιον· ἠδ' Ὠγύλη (?)· νῆσον δὲ ταύτην οἱ καλοὺς (παλαιοί...) καλοῦσιν. *Steph. v.* Ὠγυλίη νῆσος, ἔνθα Ὀδυσσεὺς ἐκ τῆς ναυαγίας ἐξερρίφη. Buttmann denkt hierbei an den Γῆς περίοδος. Vgl. *fr.* LIII.

LXII. *Eust. Il. p.* 1786 (vgl. *Eudoc. p.* 77):

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐϋζωνος Πολυκάστη
Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδαο
Περσέπολιν μιχθεῖσα διὰ χρυσῆν Ἀφροδίτην.

LXIII. *Schol. Pind. Pyth.* III, 48 erwähnt aus Hesiod τὸν περὶ κόρακα μῦθον·

Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτός
Πυθὼ ἐς ἡγαθέην καί ῥ' ἔφρασε ἔργ' ἀΐδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς γῆμε Κορωνὶν
Εἰλατίδης Φλεγύαο διογνήτοιο θύγατρα.

Dieselben Verse zu *Eyth.* III, 14, nur die zwei ersten zusammengezogen in:

τῷ μὲν ἄρ' ἦλθε κόραξ φράσσεν δ' ἄρα ἔργ' αἴδηλα.

und im dritten ὅττ' (oder ὅτ' ἄρ') Ἴσχυς ἔγημε.

LXIV. *Athenag. Legat. p.* 147 von Asklepios:

Πατὴρ ἀνδρῶν τε θεῶν τε
χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ
ἔκτανε Λητοΐδην φίλον σὺν θυμὸν ὀρίνων.

Richtig mein Freund Kiesel *de hymno in Apollinem Homerico p.* 126 Λητοΐδαο. Nach Hesiod war Asklepios Sohn der Arsinoe (*Paus.* II, 26, der Ἢ. ἢ τῶν τινα ἐμπεποιηκότων ἐς τὰ Ἡσιόδου τὰ ἔπη συνθέντα ἐς τὴν Μεσσηνίων χάριν) und Machaon Sohn der Xanthe (oder Xanthinoe) von Apoll (*Schol. Il.* δ, 195). Die Verse, die beim *Schol. Pind.* III, 14 vorkommen ohne Namen des Dichters:

Ἡ δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιὸν ὄρχαμον ἀνδρῶν
Φοίβῳ ὑποδμηθεῖσα ἐϋπλόκαμον τ' Ἐριῶπιν

schreiben Böckh und Werfer (*acta Monac.* II, 498) dem H. zu. Vgl. *fr.* XXXVI. Beim *Schol.* folgt: Καὶ Ἀρσινόης ὁμοίως mit zwei Versen. Hermann liest περὶ Ἀ. und gibt dem H. die zwei Verse:

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητοῦς υἱῷ
τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε.

Aber richtig sah Böckh, dass in Ἀρσινόης der Name des Dichters korrumpirt sei, was unzweifelhaft, wenn man das ganze Scholion ansieht.

LXV. *Eust. Il. p.* 323 (von der Schnelligkeit des Iphiklos, des Bruders des Melampus):

Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα
ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάασκε πόδεσσιν
. . . . . καὶ οὐ σινεέσκετο καρπόν.

Vgl. das. *p.* 1206, *Schol. Il. v*, 227, wo ἐπὶ πυραμίνους ἀθέρας φοίτασκε π. (*Lob. Phryn. p.* 583, 590 denkt an δρώμασκε), *Od. p.* 1689 (wo auch gesagt wird: Ἡ. δέ φησι προμιγῆναι αὐτὴν (Κλυμένην, Mutter des Iphiklos) Ἡλίῳ καὶ τεκεῖν Φαέθοντα (was ebenso beim *Schol. Od.* λ, 326), *Schol. Apoll.* I, 45 (wo πυρίνων). S. *fr.* XXXIV. Iphiklos

herzustellen. Umgekehrt will man beim *Schol. Il.* π, 175 *Ζηνόδοτος δὲ Κλεοδώρην φησὶν Ἡσιόδου καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων* lieber den Heliodor haben.

LXXVI. *Orig. c. Cels.* IV *p.* 216 (von der ersten Zeit):

Ξυναὶ γὰρ τότε δαῖτες ἔσαν ξυνοὶ δὲ θόωκοι
ἀθανάτοισι θεοῖσι καταθνητοῖς τ' ἀνθρώποις.

Der erste Vers auch bei *Theo* und dem *Schol. Arat. Phaen.* 102.

LXXVII. *Plut.* II *p.* 415 C. (Vgl. *p.* 989 A, *Tzetz. Lyc.* 794, *Il. p.* 841, *Interpr. Maii Virg. Ecl.* VI, 30. Das *Etym. M. p.* 13 hat V. 1. 2 als *χρησμός*; V. 1 parodirt bei *Arist. Av.* 610): *Λέγει γὰρ Ἡ. ἐν τῷ τῆς Ναΐδος προοιμίῳ καὶ τὸν χρόνον αἰνιττόμενος·*

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη
ἀνδρῶν ἡβώντων ἔλαφος δέ τε τετρακόρωνος,
τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται αὐτὰρ ὁ φοῖνιξ
ἐννέα τοὺς κόρακας δέκα (ϑ') ἡμεῖς τοὺς φοίνικας
νύμφαι ἐϋπλόκαμοι κοῦραι Διὸς αἰγιόχοιο.

V. 2. Dass statt *γηρώντων* auch *ἡβώντων* gelesen werde, wie das *Etym.*, *Tzetzes* und *Auson. Id.* XVIII (mit der Ueberschrift *de aetatibus animalium Hesiodion*) haben, bemerkt Plutarch. Vgl. noch zum Ganzen *Plin. H. N.* VII, 48.

LXXVIII. *Bekker Anecd. p.* 1183:

Ἡ δὲ Θόαν τέκεν υἱόν.

LXXIX. *Herodian. p.* 11:

Φέλλον ἐϋμμελίην τέκε τῇ Μελιβοίᾳ.

Gaisford denkt an *τέκε τῇ τηλεκλυτῇ Μελιβοίῃ*, Hermann S. 262 wahrscheinlicher an *τέκετο κλειτὴ Μελίβοια.*

Aus Hesiod werden mehrere Stücke angeführt, die auf Sternbilder hindeuten. Zwei hat *Athen.* XI *p.* 491 C, D aus H. *Ἀστρονομία* (vgl. *Plut. de Pyth. orac. p.* 403 A), ein anderes wird aus der *ἀστρικὴ βίβλος* genannt (*Schol. Arat. Phaen.* 172, 254, *Tzetz. Hes. Erg.* 382, *Chil.* XII, 27); von anderen bleibt es zweifelhaft, ob sie hier oder im *κατάλογος* gestanden; wir stellen sie hier zusammen.

LXXX. Orion. *Theo* und *Schol. Arat. Phaen.* 322: *Τοῦτον δὲ Ἡ. φησι Βρύλλης* (lies *Εὐρυάλης Eratosth.* 32 u. A.) *τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι δωρεὰν δὲ ἔχειν ἐπὶ τῶν κυμάτων πορεύεσθαι· ἐλθόντα δὲ ἐς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα, τὸν δὲ Οἰνοπίωνα χαλεπαίνοντα ἐκτυφλῶσαι αὐτόν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμίξαι, ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ ποδηγέτην Κηδαλίωνα, ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε τὰς ὁδοὺς αὐτῷ σημαίνοντα· ἐλθὼν δὲ εἰς ἀνατολὰς καὶ ἡλίῳ συμμίξας ὑγιάσθη καὶ οὕτως ἐπὶ τὸν Οἰ. ἦλθε τιμωρήσασθαι μέλλων, ὁ δὲ μαθὼν ὑπὸ γῆν ἐκρύβη· ἀνελπίσας δὲ αὐτὸν εὑρεῖν εἰς Κρήτην ἦλθεν καὶ τῇ Ἀρτέμιδι σύνθηρος ἦν· ἐπιχειρήσας οὖν καὶ ταύτην βιάσασθαι ὑπὸ σκορπίου πληγεὶς ἐτελεύτησεν.* Ganz ähnlich *Schol. Nicand. p.* 28, *Hygin. Astron.* 34, *interpr. Arat. Phaen. p.* 75 *sq. Buhle*, nur dass hier Orion seiner Grosssprechereien wegen vom Skorpion getödtet wird. Dazu nehme man *Schol. Harl. Od.* ι, 199: *Καθ' Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου*, *Eust. p.* 1623: *Οὗ* (*Μάρωνος*) *τὸν πατέρα Εὐάνθην Ἡ. Οἰνοπίωνος* (*φασὶν ἱερὸν* — zu streichen) *ἱστορεῖ υἱοῦ Διονύσου. Diod.* IV, 85: *Ἡ. δὲ ὁ ποιητὴς φησι τοὐναντίον ἀναπεπταμένου τοῦ πελάγους Ὠρίωνα προσχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μετασταῆναι κἀκεῖ κατοικῆσαι διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἀστροῖς καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης.*

LXXXI. Phaethon. *Interpr. Germ. Arat. Phaen. p.* 83 *sq.*: *Hesiodus autem eum (Eridanum) inter astra collocatum propter Phaethonta Solis et Clymenes filium, qui dicitur patris currum ascendisse. Cumque a terra altius levaretur, prae timore in Eridanum fluvium — cecidit ab Iove fulmine percussus, et omnia ardere coeperunt, causaque extinguendi universos amnes immissos esse, omneque mortalium genus interiisse praeter Pyrrham et Deucalionem. Sorores quoque Phaethontis flentes in arbores populos versae sunt, lacrimae-*

que earum in electrum durare dicuntur Heliadesque appellatae, ipsarum autem nomina Merope Helie Aegle Aegiale Petre (für beide letzteren *Lampetie* nach *Hygin.*) *Phoebe Chaerie (Aetherie) Dioxippe. Cycnus quoque rex Liguriae Phaethontis propinquus, dum fleret, in cycnum conversus est: id (is) quoque monens (moriens) flebile canit.* Dasselbe *Hygin. f.* 154 unter dem Titel *Phaethon Hesiodi*, der noch besonders des H. beim Elektrum Erwähnung thut; nur nennt er den Ph. *Clymeni Solis filii et Meropes nymphae filius*, lässt das von Pyrrha und Deukalion weg und leitet die schwarze Farbe der Inder vom Sturze Ph. her. S. Welcker Trilogie S. 569.

LXXXII. Helike. *Schol. Arat. Phaen.* 27: (Ἑλίκην) Ἡ. φησι Λυκάονος θυγατέρα εἶναι καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἐλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ τᾶς θήρας ἀγωγὴν ἔν ὄρεσι ποιεῖσθαι· φθαρεῖσαν δὲ ὑπὸ Διὸς καὶ ἤδη μέλλουσαν τεκεῖν ὀφθῆναι ὑπ' αὐτῆς λουομένην, ἐφ' ᾗ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτὴν, καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδα, οὖσαν δὲ ἐν τῷ ὄρει θηρευθῆναι ὑπ' αἰπόλων τινῶν καὶ παραδοθῆναι Λυκάονι μετὰ τοῦ βρέφους· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λύκαιον, ὅ ἐστι τοῦ Διὸς ἄβατον, ἀγνοήσασαν τὸν νόμον ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην —· ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτὴν ἐξείλετο καὶ ἐν τοῖς ἄστροις ἔθηκεν Ἄρκτον αὐτὴν ὠνομάσας. Dasselbe beim *interpr. Germ. Arat. p.* 38 *sq.*, wo ihr Name Kallisto aus H. erwähnt und erzählt wird, sie sei mit ihrem Sohne Lykaon im Tempel des Zeus getödtet worden.

Zu diesem allen nehme man noch oben *fr.* XXII, wobei aber die Bemerkungen von Müller Prolegomena S. 196 f. wohl zu beachten sind.

LXXXIII. *Schol. Apoll.* I, 757: *Διόπερ παρ' Ἡ. οὕτως ἀναγνωστέον·*

Αὐτὸς δ' ἐν πλήσμῃσι διϊπετέος ποταμοῖο
καὶ οὐχ, ὥς τινες, πλήμυῃσιν. Von Phaethon?

LXXXIV. *Ib.* I, 456, *Etym. M. p.* 557:

Βαίνου λαροῖς ποσί.

τοῖς κατ' ὄψιν ἡδέσιν. Das erste Wort, das beim *Schol.* fehlt, ist wohl *βαῖνον* zu schreiben.

LXXXV. *Schol. Il.* ξ, 119 (*ἀντὶ τοῦ ἱππικός*):

Ἰδὼν δ' ἱππήλατα κήρυξ.

LXXXVI. *Schol. Nicand. p.* 44: *Κτίλα ἐπὶ τῶν ἡμέρων καὶ τιθάσσων τίθεται . . . καὶ Ἡ.·*

Χρὴ πατέρι κτίλον ἔμμεναι.

LXXXVII. *Cramer Anecd.* II *p.* 148:

Δῶρα θεῶν μακάρων πλῆσθαιχθονί.

LXXXVIII. *Ib.* III *p.* 318:

Πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέϊ καπνῷ.

LXXXIX. *Schol. Il.* λ, 155:

Τῆλε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν.

Hermann S. 268 emendirt *χείλεα* und vermuthet für *τῆλε τῇδε* (dort).

XC. *Schol. Od.* η, 104. *Καὶ Ἡ. γάρ φησι τό·*

Ἀλετρεύουσι μύλης ἔπι μήλοπα καρπόν

ἐπὶ τῆς ἠλακάτης τῆς στρεφομένης δίκην μύλης. Die Stelle des H. scheint verdrängt worden zu sein durch die des Homer.

XCI. Mehrere Sentenzen werden aus H. erwähnt.

1. *Νήπιος, ὃς τά (γ') ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει.*
2. *Δῶρα θεοὺς πείθει δῶρ' αἰδοίους βασιλῆας.*
3. *Ἔργα νέων βουλαὶ δὲ μέσων εὐχαὶ δὲ γερόντων.*
4. *Εἴκε πάθοι, τά κ' ἔρεξε, δίκη κ' εὐθεῖα γένοιτο.*
5. *Ὡς κε πόλις ῥέζῃσι, νόμος δ' ἀρχαῖος ἄριστος.*

1. *Schol. Theocr.* XI, 75 (*τὰ ἀνετ.*), *Plut.* II *p.* 575 D. Vielleicht *ὅστις*. 2. *Suid. v. δῶρα* (ohne Namen bei *Plat. Rep. p.* III *p.* 390). 3. *Harpocr. v. ἔργα.* 4. *Mich. Ephes. Arist. Eth. Nicom.* V, 8; den Vers führt Aristoteles an. 5. *Porphyr. de abstin.* II, 18 (vom Opfer).

Einzelne Wörter werden zuweilen aus H. angeführt. *Ὑπερβασίαι δ' ἀλεγειναί Eust. p.* 1318. *Μέγαρα* (die Stadt) *σκιόεντα ib. p.* 1424. *Δαϊζομένου πόληος.* (standen wohl nicht gleich

hintereinander) *Philem. v.* εὐφυής, *Phavor. p.* 781. Ἄφυξα (Löwe) *Schol. Il.* φ, 528. Βασιλεύτατος (von Minos) *Plut. Thes.* 16. Εὐθύνεον *Cramer Anecd.* II *p.* 55. Ἐπαίλτης (ὁ δαίμων) *Suid., Zonar. v.* Ἀμόντα χαμάζε *Etym. M. p.* 430. Ἄγαλμα (ὁ ὄρμος) *Suid. v.* Βρῖ (τὸ βριθὺ τὸ βριαρόν) *Strab.* VIII *p.* 364, *Eust. p.* 295. Κομιδή (ἡ ἄφιξις) *Suid. v.* Ἀπτερέως *Etym. M. p.* 133, 183.

Bei H. kamen vor die Hyperboreer (*Herod.* IV, 36), der ganze Peloponnes (*Schol. Il.* ι, 246), Aristäos als *Apollo pastoralis* (*Serv. Georg.* I, 14), Eurylochos, der die auf Aegina hausende Schlange vertreibt (*Strab.* IX *p.* 314), der Drache Ladon, Sohn des Typhon, Hüter der Hesperiden (*Schol. Apoll.* IV, 1396), die er Aegle, Arethusa und Hesperusa nannte, Töchter der Nacht, jenseits des Okeans (*Serv. Aen.* IV, 484), Hades als *quinta luna natus* (Serv. *G.* I, 277), das Αἰγαῖον πεδίον bei Kirrha (*Steph. Byz.* Αἰγαῖον), die idäischen Daktyle auf Kreta (*Plin. H. N.* VII, 16), über die eine eigene Schrift Suidas anführt, Amphilochos in Soli von Apoll getödtet (*Strab.* XIV *p.* 676), der Kyknos, den Achill tödtet, mit weissem Kopfe (*Schol. Theocr.* XVI, 49), die zehn Söhne und ebensoviel Töchter der Niobe (*Apollod.* III, 5), dagegen nach Aelian (XII, 36) zusammen neunzehn, die Erbauung der Mauern Thebae's durch die Töne des Zetos und Amphion (*Palaeph.* 42), der Dienst des Apoll bei Admet (*Schol. Eur. Alc.* 1), Busiris elf Menschenalter vor Herakles (*Theo Progymn.* bei *Walz Rhet.* I, 217), Erysichthon Αἰθὼν genannt διὰ τὸν λιμόν (*Tzetz. Lyc.* 1396. Bei *Bachmann Anecd.* I, 281 wird von ihm angeführt: Ὁ δ' ἀλύξεται αἰθόπα λιμόν. Vgl. *Erg.* 361), Tityos von Elara Εἰλαρίδης (*Etym. M. p.* 60, Hermann S. 267) und die Astyoche Astydameia genannt (*Schol. Pind. Ol.* VI, 42). Priapos kam nicht vor (*Strab.* XIII *p.* 588), auch nicht das Wort τύραννος (*Schol. Oed. R. argum.*) und die λύγκοι (*Schol. Od.* τ, 34). Einzelnes Genealogische findet sich noch unter H. Namen. Phöbos so genannt von Phöbe der Grossmutter

(*Etym. M. p.* 796, *Schol. Il.* α, 42, *Cramer Anecd.* II p. 432), Brotos, Sohn des Aether und der Hemera (*Etym. M. p.* 215), Sarpedon, Sohn der Europe, deren Geschichte erzählt ward (*Schol. Il.* μ, 292, *Schol. Vat. Eur. Rhes.* 28), Adonis, Sohn des Phönix und der Alphesiböa (*Apollod.* III, 14, 4, *Prob. Virg. Ecl.* X, 18), Euander verwandt mit den Atriden (*Serv. Aen.* VIII, 130), die Aloiden, Söhne des Aloeus, der Alos gegründet, und der Iphimedeia (*Schol. Apoll.* I, 482, *Eudoc. p.* 37), als Gemahlin des Sthenelos Nikippe, Tochter des Pelops (*Schol. Il. v*, 116 — das eine Scholion ist verdorben), die Aktorionen, die Aristarch aus H. als *δύο ἔχοντας σώματα καὶ συμπεφυκότας* erwies (*Schol. Il. ψ*, 638, λ, 709, 750, *Eust. p.* 882, 1321, *Apollon. Lex. Hom. Μολίονε*, *Plut. p.* 1083 C), Thamyris geblendet *Δωτίῳ ἐν πεδίῳ* (*Steph. v. Δώτιον*. Vgl. *Ritschl de Oro et Orione p.* 28 *sq.*, Welcker Gr. Tr. I, 419). Die Notiz des *interpr. Ovid. Metam. I: Tum humanum genus, quod cuncta vinceret, Prometheus Iapeti filius, ut idem H. ostendit, ex humo finxit*, ist irrig (Welcker Trilog. S. 13) und sollte sich wohl auf die Theogonie beziehen. Anderes mit Unrecht dem H. Zugeschriebene gibt Hermann S. 271 f. Auch beim *Schol. Il.* ζ, 35: *ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡ.* ist der Name des H. sicher irrig. Dagegen scheint die Angabe das. ψ, 679: *Καὶ Ἡ. δέ φησιν ἐν Θήβαις αὐτοῦ* (*Οἰδίποδος*) *ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν αὐτοῦ* nicht zu verwerfen.

II. *Μελαμποδία.*

Paus. IX, 31 zählt unter den dem Hesiod zugeschriebenen Gedichten neben dem Katalogos und den Eöen auf *ἐς τὸν μάντιν Μελάμποδα*. Schon deshalb kann die *Μελαμποδία* nicht einen Theil des *κατάλογος* ausgemacht haben, wie zuerst Groddeck „Bibliothek der alten Litteratur und Kunst“ II, 84 annahm. Freilich kam Melampus in den Eöen vor (*fr.* XXXIV) und die Erwähnung der Töchter des Proetos ist *κατάλογος* (*fr.* XVI) hängt mit Melampus zusammen, der

X. *Schol. Pind. Nem.* II, 1:
Ἐν Λήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοί
μέλπομεν ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

III. *Θησέως εἰς ᾅδην καταβασις*
oder vielmehr, wie es *Pausanias* umschreibt, *ὡς Θησεὺς εἰς τὸν ᾅδην ὄρους Πειριθῳ καταβαίη*, wodurch der Inhalt gehörig bestimmt ist. Dies übersah Ulrici I, 370, der hierhin oben *fr.* LIV (vielleicht auch LV) zieht.

IV. *Αἰγίμιος.*

I. *Steph. Byz. v. Ἀβαντίς, ὡς Ἡ. ἐν Αἰγιμίου δευτέρῳ περὶ Ἰοῦς·*

Νήσῳ ἐν Ἀβαντίδι φίλῃ,
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,
τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασε Ζεύς.

Hermann S. 257 emendirt V. 2:

Εὔβοιαν δὲ βοὸς τότ' ἐπώνυμον ὠνόμασε Ζεύς.

Demnach gehören in das zweite Buch auch die Verse, die *Schol. Eurip. Phoen.* 1123 und *Tzetzes Il. p.* 843 *sq.* aus dem *ὁ Αἰγίμιον ποιήσας* anführen:

II. *Καί οἱ ἐπίσκοπον Ἄργον ἔει κρατερόν τε μέγαν τε*
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα·
ἀκάματον δὲ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροις, φυλακὴ δ' ἔχεν ἔμπεδος αἰεί.

S. *Osann auctar. lex. graec. p.* 131. Vgl. *Apollod.* II, 1, 3: *Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τοῦ Ἀσωποῦ θυγατρὸς αὐτὸν* (Ἄργον) *λέγει.* S. oben *fr.* LXXIX. Auf den Kerkops, den Dichter des Aegimios (*fr.* III), ist auch wohl zu beziehen *Apollod.* II, 1, 5: *Πρὶν δὲ τελευτῆσαι, ἔγημεν* (Ναύπλιος) —, *ὡς δὲ ὁ τοὺς νόστους γράψας, Φιλύραν, ὡς δὲ Κέρκωψ, Ἡσιόνην.*

III. *Schol. Apoll.* IV, 816: *Ὁ τὸν Αἰγίμιον ποιήσας ἐν δευτέρῳ φησίν, ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ζέοντα ἐνέβαλε τοὺς ἐκ Πηλέως γενομένους αὐτῇ παῖδας βουλομένη*

εἰδέναι, εἰ θνητοί εἰσιν, ἑτέρους δὲ εἰς τὸ πῦρ, ὡς Ἀπολλωνιὸς φησιν· καὶ δὴ πολλῶν διαφθαρέντων ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλύσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα.

IV. *Athen.* XI *p.* 503 D: *Καὶ ὁ τὸν Αἰγίμιον δὲ ποιήσας, εἴθ' Ἡ. ἐστιν, ἢ Κέρκωψ ὁ Μιλήσιος·*

Ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν.

Nach Müller (Dorier II, 481) Worte des Herakles zum Aegimios. Der daselbst XIII p. 557 A genannte und dem Hesiod entgegengestellte Kerkops ist der Pythagoräer. *Diog. Laert.* II, 46 sagt: *Καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι ἐφιλονείκει.*

V. *Schol. Apoll.* III, 587: *Ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ τὸ δέρας αὐτὸν (Φρίξον) αὐθαιρέτως φησὶ προσδεχθῆναι· λέγει δέ, ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας οὕτως ἔστειχεν ὡς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων.* –

Müller (Dorier II, 482) zieht hierhin noch oben *fr.* XLV, LIV, Buttmann (Mythologus II, 260) *fr.* LXVI, Göttling auch *fr.* LVI, LXXVI. Vgl. Welcker S. 263 ff. Den Inhalt des Ganzen bildete wohl *Apoll.* II, 7, 7 (vgl. *Diod.* IV, 37).

V. *Φορωνίς.*

I. *Clem. Strom.* I. *p.* 380: *Ὅθεν καὶ ὁ τῆς Φορωνίδος ποιητὴς εἶναι αὐτὸν (Φορωνέα) ἔφη*

πατέρα θνητῶν ἀνθρώπων.

II. *Etym. M. p.* 339: *Ὁ τὴν Φορωνίδα γράφων φησίν·*

Ἑρμείαν δὲ πατὴρ Ἐριούνιον ὠνόμασ' αὐτόν·
πάντας γὰρ μάκαράς τε θεοὺς θνητούς τ' ἀνθρώπους
κέρδεσι κλεπτοσύναις ἐξαίνυτο τεχνήεσσαις.

Heyne zu *Il.* υ, 72 liest *κλεπτοσύνῃσιν ἐκαίνυτο*, wir *κλεπτοσύνῃσι τ' ἐκαίνυτο*. Vgl. *Od.* τ, 395 f. *ὃς ἀνθρώπους ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε.*

III. *Schol. Apoll.* I, 1129: *Ὁ δὲ τὴν Φορωνίδα συνθεὶς γράφων οὕτως·*

Ἔνθα γόητες
Ἰδαῖοι Φρύγες ἄνδρες ὀρέστεροι οἰκί' ἔναιον
Κέλμις Δαμναμενεύς τε μέγας καὶ ὑπέρβιος Ἄχμων
εὐπάλαμοι θεράποντες ὀρείης Ἀδρηστείης,

οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο
εὗρον ἐν οὐρείῃσι νάπαις ἰόεντα σίδηρον
ἐς πῦρ τ' ἤνεγκαν καὶ ἀριπρεπὲς ἔργον ἔδειξαν.

Welcker Trilogie S. 168 ff., *Lobeck Aglaoph.* 1156 *sq.* Phoroneus erscheint als erster Bildner der noch wilden Menschheit.

IV. *Strab:* X *p.* 710 *sq.*: Ὁ δὲ τὴν Φορωνίδα στέψας (γράψας?) αὐλητὰς καὶ Φρύγας τοὺς Κουρῆτας λέγει. Φρύγες sind auch die Δάκτυλοι.

V. *Clem. Strom.* II *p.* 418: Γράφει οὖν ὁ τὴν Φορωνίδα ποιήσας·

Καλλιθόη κλειδοῦχος Ὀλυμπιάδος βασιλείης
Ἥρης Ἀργείης, ἣ στέμμασι καὶ θυσάνοισι
πρώτη ἐκόσμησεν περὶ κίονα μακρὸν ἀνάσσης.

